# ΑΚΟΛΟΥΘΙΑ ΚΑΙ ΒΙΟΣ

## ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ ΜΕΓΑΛΩΝ ΒΑΣΙΛΕΩΝ ΚΑΙ ΙΣΑΠΟΣΤΟΛΩΝ

# ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΚΑΙ ΕΛΕΝΗΣ

**Ἐκ** διαφόρων Βιβλίων ρανισθεῖσα, τὴν Ἀκολουθίαν ἐκ τοῦ Μηναίου, τὸν Βίον ἐκ τοῦ Παραδείσου, τοὺς Χαιρετισμοὺς ἐκ τοῦ συναξαριστοῦ Σαρδουνὶξ, τὴν Παράκλησιν ἐκ τῶν Πνευματικῶν Κήπων, ἐκ τοῦ Ἀποστόλου Εὐαγγελίου καὶ διάφορα Μεγαλυνάρια ἐξ ἀναγνωρισμένων Ἀκολουθιῶν εὑρισκομένων ἐν τῇ Βιβλιοθήκῃ μου δαπάνῃ, τοῦ παρ' ὑμῶν ἐλαχίστου ἐν ἱερεῦσι Γεωργίου **Α**. Βουτέρη χάριν εὐλαβείας ἐφημερεύοντος εἰς τὸν ἐνταῦθα ἱερὸν Ναὸν τοῦ Ἁγίου Κωνσταντίνου, καὶ πρὸς εὐχερεστέραν χρῆσιν τῶν ἐν ταῖς Ἁγίαις τοῦ Θεοῦ Ἐκκλησίαις ψαλλόντων αὐτήν.

***Ψαλλομένη τῇ 21 Μαΐου ἐν ᾗ τελεῖται ἡ μνήμη αὐτῶν.***

*Αἰνέσωμεν δὴ ἄνδρας ἐνδόξους καὶ τοὺς Πατέρας ἡμῶν τῇ γενέσει, Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς, ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν Προβάτων.*

*(Κ. Ἰωάννης).*



*Σὲ τὸν ἀγέννητον Θεὸν καὶ Πατέρα. Σὲ τὸν Υἱὸν τὸν μονογενῆ· Σὲ τὸ Ἅγιον Πνεῦματὸ Παράκλητον, ὦ Τριὰς Παναγία, μοναδική τε καὶ ἑνιαῖα, καὶ ἀδιαίρετε! Σὲ καὶ νῷ καὶ καρδίᾳ καὶστόματι, ὁμολογοῦμεν καὶ εὐλογοῦμεν εἰς τοὺς αἰῶνας' Ἀμὴν*

**Ἐν Ἀθήναις 1899.**

270

446

**20.** Τοῦ Ἁγίου μάρτυρος Θαλλελαίου. Τῇ αὐτῇ ἡμέρα τῶν Ἁγίων μαρτύρων Ἀλεξάνδρου Ἀστερίου, Ἀσηλᾶ, τριῶν θεοφόρων Πατέρων Νικήτα Ἰωάννου καὶ Ἰωσήφ, καὶ Θαλασσίου Μάρκου, Ἀλεξίου Μητροπολίτου Μόσχας τῆς Ρωσσίας καὶ ἡ Ἀνακομιδὴ τῶν λειψάνων τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νικολάου Μύρων τῆς Λυκίας τοῦ θαυματουργοῦ. Ἀπολυτίκιον. Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος,

Δεῦτε πάντες εὐλαβῶς ἀνυμνήσωμεν, πάροδον Λειψάνου τοῦ θείου, ἀρχιθύτου τοῦ μάκαρος, βοῶντες πρὸς αὐτὸν περιθεῶς· βοήθησον ἡμῖν τοῖς σὲ πιστῶς, ἀνυμνοῦσιν ἐν κινδύνοις Ἱεράρχα Νικόλαε· δόξα τῷ σε δοξάσαντι Χριστῷ. Αἶνος τῷ σὲ μεγαλύναντι. Κλέος τῷ σὲ ἀναδείξαντι λαμπρῶς, τύπον ἁγιότητος.

Κοντάκιον. Ἦχος πλ. δ'. Εἰ καὶ ἐν τάφῳ.

Εἰ καὶ τὰ ἄνω πολένεις βασίλεια, ἀλλ' ἐποπτεύεις ἡμᾶς τοὺς ὑμνοῦντάς σε· καὶ παρέχεις ὡς πρεσβευτὴς ἀεὶ πρὸς Θεὸν τοῖς τιμῶσι τὴν θείαν τοῦ σκήνους σου πάροδον, καὶ πιστῶς προσεκτοῦσι, ταχεῖαν ἀντίληψιν· ὁ Ἱεράρχης Μυρέων Νικόλαος.

Μεγαλυνάριον.

Ἐν εὐσήμῳ γλώττῃ τὴν ἱεράν, πάροδόν σου σκήνους, ἀνυμνοῦμεν μελοδικῶς, φιλεόρτων στίφη· ἃ φίλαττε ἐκ βλάβης, παντοίαις σαῖς πρεσβείαις, θεῖε Νικόλαε.

Ἀπολ. Ἁγ. Θαλλελαίου. Ἀθλοφόρε Ἅγιε καὶ ἰαματικὲ Θαλλελαῖε. Ἦχ. γ'.

Κοντάκιον. Ἦχ. γ. Ἡ Παρθένος σήμερον,

Τῶν Μαρτύρων σύναθλος, ἀναδεχθεὶς καὶ ὁπλίτης, στρατιώτης ἄριστος, τοῦ Βασιλέως τῆς δόξης, γέγονας διὰ βασάνων καὶ τιμωρίας, ἔπαρσιν εἰδωλολατρῶν καταπατήσας· διὰ τοῦτο τὴν σεπτήν σου, ὑμνοῦμεν μνήμην σοφὲ Θαλλέλαιε.

## ΜΑΙΟΣ 21.

Μνήμη τῶν Ἁγίων ἐνδόξων, μεγάλων, Θεοστέπτων καὶ Ἰσαποστόλων Βασιλέων, Κωνσταντίνου καὶ Ἑλένης. Εἰς τὸν Ἑσπερινόν.

Στιχολογοῦμεν τὴν α'. στάσιν του, Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους 6 καὶ ψάλλομεν Στιχηρὰ προσόμοια 3. Τῆς τυχούσης ἑορτῆς καὶ τῶν Ἁγίων 3. Στιχηρὰ τῶν Ἁγίων. Ἦχος δ. Ἔδωκας σημείωσιν.

Ὅπλον κραταιότατον, τῷ Βασιλεῖ ἡμῶν δέδωκας, τὸν Σταυρόν σου τὸν τίμιον, δι' οὗ ἐβασίλευσεν, ἐπὶ γῆς δικαίως, λάμψας εὐσεβείᾳ· καὶ βασιλείας οὐρανῶν, κατηξιώθη τῇ εὐσπλαγχνίᾳ σου· μεθ' οὗ σου τὴν φιλάνθρωπον, οἰκονομίαν δοξάζωμεν, Ἰησοῦ παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἔδωκας φιλάνθρωπε, τῷ εὐσεβεῖ σου θεράποντι, Σολομῶντος τὴν φρόνησιν, Δαυῒδ τὴν πρᾳότητα, καὶ τῶν Ἀποστόλων, τὴν ὀρθοδοξίαν, ὡς βασιλέων Βασιλεύς, κυριευόντων τε πάντων Κύριος· διό σου τὴν φιλάνθρωπον, οἰκονομίαν δοξάζωμεν, Ἰησοῦ παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Πρῶτος καθυπέταξας, τὴν ἁλουργίδα ἀείμνηστε, Βασιλεῦ ἑκουσίως Χριστῷ, αὐτὸν ἐπιγνοὺς Θεὸν, καὶ παμβασιλέα, πάντων εὐεργέτην, νικοποιὸν πάσης ἀρχῆς, καὶ ἐξουσίας τὸν ὑπερκείμενον· ἐντεῦθεν σοι φιλόχριστε. τὴν βασιλείαν κατεύθυνεν, Ἰησοῦς ὁ φιλάνθρωπος, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν. Δόξα, Ἦχος 6. Βυζαντίου.

Πλουσίων δωρεῶν τὰ κρείττονα, εἰληφὼς παρὰ Θεοῦ, Ἄναξ κράτιστε, Κων-

---

Ἐρανίσθημεν ἐκ τοῦ συναξαριστοῦ Σαρδονὺξ Δουκάκη σελ. 356. καὶ Ὡρολογίου. 372. Γ. Α. Βουτέρη.



σταντῖνε μέγιστε, καλῶς ἐν τούτοις διέπρεψας· καταυγασθεὶς γὰρ ἀκτῖσι τοῦ παναγίου Πνεύματος, ὑπὸ Συλβέστρου ἱερέως, διὰ τοῦ βαπτίσματος, ἐν βασιλεῦσιν ὤφθης ἀήττητος, τὴν οἰκουμένην ὡς προῖκα, προικοδοτήσας τῷ Κτίστῃ σου καὶ πόλιν Βασιλεύουσαν θεοσεβῆ. Διὸ ἱκετεύων μὴ παύσῃ Χριστῷ τῷ Θεῷ, δωρηθῆναι ἅπασι, τοῖς τελοῦσι τὴν μνήμην σου, ὡς παρρησίαν ἔχων, ἁμαρτιῶν συγχώρησιν, καὶ τὸ μέγα ἔλεος. Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἴσοδος τό, Φῶς ἱλαρὸν τό, Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Βασιλειῶν γ'. τὸ Ἀνάγνωσμα.

Ἔστη Σολομὼν κατὰ πρόσωπον τοῦ θυσιαστηρίου Κυρίου, ἐνώπιον πάσης ἐκκλησίας Ἰσραὴλ, καὶ διεπέτασε τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν, καὶ εἶπε· Κύριε ὁ Θεὸς Ἰσραὴλ, οὐκ ἔστιν ὡς σὺ Θεὸς ἐν τῷ Οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς γῆς κάτωθι ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐκ ἀρκέσουσί σοι, πῶς ὁ οἶκος οὗτος, ὃν ᾠκοδόμησα τῷ ὀνόματί σου ; Πλὴν καὶ ἐπιβλέψεις ἐπὶ τὴν δέησίν μου, Κύριε ὁ θεὸς Ἰσραὴλ, ἀκούειν τῆς δεήσεως καὶ τῆς προσευχῆς, ἧς ὁ δοῦλος σου προσεύχεται ἐνώπιόν σου σήμερον πρὸς σέ, τοῦ εἶνε τοὺς ὀφθαλμούς σου ἀνεῳγμένους εἰς τὸν οἶκον τοῦτον ἡμέρας καὶ νυκτὸς, εἰς τὸν τόπον, ὃν εἶπας, ἔσται τὸ ὄνομά μου ἐκεῖ, τοῦ εἰσακούειν τῆς προσευχῆς, ἧς προσεύχεται ὁ δοῦλος εἰς τὸν τόπον τοῦτον. Καὶ εἰσακούσῃ τῆς δεήσεως τοῦ δούλου σου καὶ τοῦ λαοῦ σου Ἰσραὴλ, ὅσα ἂν προσεύξωνται εἰς τὸν τόπον τοῦτον· καὶ σὺ εἰσακούσῃς ἐν τῷ τόπῳ τῆς κατοικήσεώς σου ἐν τῷ οὐρανῷ, καὶ ποιήσεις ἵλεως ἔσῃς.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης. Ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφῃ κατεκόσμησέ με κόσμῳ. Καὶ ὡς γῆ αὔξουσα τὸ ἄνθος αὐτῆς, καὶ ὡς κῆπος τὰ σπέρματα αὐτοῦ ἐκφύει, οὕτως ἀνατελεῖ Κύριος δικαιοσύνην, καὶ ἀγαλλίαμα ἐναντίον πάντων τῶν ἐθνῶν. Διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ διὰ Ἱερουσαλὴμ οὐκ ἀνήσω, ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη μου, τὸ δὲ σωτήριόν μου ὡς λαμπὰς καυθήσεται. Καὶ ὄψωνται τὰ ἔθνη τὴν δικαιοσύνην σου καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου, καὶ καλέσουσι τὸ ὄνομά σου τὸ καινὸν, ὃν ὁ Κύριος ὀνομάσει αὐτό· καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ Κυρίου, καὶ διάδημα βασιλείας ἐν χειρὶ θεοῦ σου. Καὶ οὐκ ἔτι κληθήσῃ Καταλελειμμένη· καὶ ἡ γῆ σου οὐκ ἔτι κληθήσεται ἔρημος· σοὶ γὰρ κληθήσεται, θέλημα ἐμόν· καὶ τῇ γῇ σου οἰκουμένη· ὅτι εὐδοκήσει Κύριος ἐν σοί, καὶ ἡ γῆ σου συνοικισθήσεται· Καὶ ὡς συνοικῶν νεανίσκος παρθένῳ, οὕτω κατοικήσουσιν οἱ υἱοί σου· καὶ ἔσται ὃν τρόπον εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται Κύριος ἐπὶ σοί.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Φωτίζου φωτίζου, Ἱερουσαλήμ: ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σε ἀνατέταλκεν. Ἰδοὺ σκότος καλύψει γῆν, καὶ γνόφοι ἐπὶ ἔθνη. δὲ φανήσεται Κύριος καὶ ἡ δόξα αὐτοῦ ἐπὶ σε ὠφθήσεται. Καὶ πορεύσονται βασιλεῖς τῷ φωτί σου, καὶ ἔθνη τῇ λαμπρότητί σου. Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε συνηγμένα τὰ τέκνα σου· ἥκασι πάντες υἱοί σου μακρόθεν, καὶ αἱ θυγατέρες σου ἐπ' ὤμων ἀρθήσονται. Τότε ὄψει, καὶ χαρήσῃ. καὶ φοβηθήσῃ, καὶ ἐκστήσῃ τῇ καρδίᾳ, ὅτι μεταβαλεῖ εἰς σὲ πλοῦτος θαλάσσης, καὶ ἐθνῶν καὶ λαῶν.

Καὶ ἥξουσί σοι ἀγέλει καμήλων, καὶ καλύψουσί σε κάμηλοι Μαδιὰμ καὶ Γεφάρ. Πάντες ἐκ Σαβᾶ ἥξουσι, φέροντες χρυσίον, καὶ λίβανον οἴσουσί σοι, καὶ λίθον τίμιον, καὶ τὸ σωτήριον Κυρίου εὐαγγελιοῦνται. Καὶ πάντα τὰ πρόβατα Κηδὰρ συναχθήσονται, καὶ κριοὶ Ναβαιὼθ ἥξουσί σοι καὶ ἀνενεχθήσονται δεκτὰ ἐπὶ τὸ θυσιαστήριόν μου, καὶ ὁ οἶκος τῆς προσευχῆς μου δοξασθήσεται. Τίνες οἵ δε ὡς νεφέλαι πέτανται, καὶ ὡσεὶ περιστεραὶ σὺν νεοσσοῖς ; Ἐμὲ νῆσοι ὑπέμειναν, καὶ πλοῖα θαρσεῖς ἐν πρώτοςς ἀγαγεῖν τὰ τέκνα σου μακρόθεν, καὶ τὸ ἀργύριον καὶ τὸ χρυσίον αὐτῶν μετ᾽ αὐτῶν, διὰ το ὔνομα Κυρίου τὸ ἅγιον, καὶ διὰ τὸ Ἅγιον τοῦ Ἰσραὴλ ἔνδοξον εἶναι. Καὶ οἰκοδομήσουσιν ἀλλογενεῖς τὰ τείχη σου, καὶ οἱ βασιλεῖς αὐτῶν παραστήσονταί σοι· διὰ γὰρ ὀργήν μου ἐπάταξά σε, καὶ διὰ ἔλεός μου ἠγάπησά σε. Καὶ ἀνοιχθήσονται αἱ πύλαι σου διὰ παντός, ἡμέρας καὶ νυκτὸς οὐ κλεισθήσονται, εἰσαγαγεῖν πρὸς σὲ δύναμιν ἐθνῶν, καὶ βασιλεῖς αὐτῶν ἀγομένους. Τὰ γὰρ ἔθνη καὶ οἱ βασιλεῖς, οἵτινες οὐ δουλεύσου σοί σοι, ἀπολοῦνται, καὶ τὰ ἔθνη ἐρημία ἐρημωθήσονται. Καὶ ἡ δόξα τοῦ Λιβάνου πρὸς σὲ ἥξει ἐν κυπαρίσσῳ καὶ πεύκῃ καὶ κέδρῳ ἅμα, δοξάσαι τὸν τόπον τὸν ἅγιόν μου, καὶ τὸν τόπο· τῶν πόδων μου δοξάσω. Καὶ πορεύσονται πρὸς σὲ δεδοικότες ὡσοὶ τῶν ταπεινωσάντων σε καὶ παροξινάντων σε, καὶ προσκυνήσουσιν ἐπὶ τὰ ἴχνη τῶν πόδων σοπάντες οἱ παροξύναντές σε· καὶ κληθήσῃ Πόλις Κυρίου, Σιὼν τοῦ ἁγίου Ἰσραήλυ διὰ τὸ γεγενῆσθαί σε ἐγκαταλελειμμένην καὶ μεμισημένην, καὶ οὐκ ἦν ὁ βοηθῶ, σοι. Καὶ θήσω σε ἀγαλλίαμα αἰώνιον, εὐφροσύνην γενεαῖς γενεῶν. Καὶ θηλάσειν γάλα ἐθνῶν, καὶ πλοῦτον βασιλέων φάγεσαι καὶ γνώσῃ, ὅτι ἐγὼ Κύριος ὁ σώζως σε καὶ ἐξαιρούμενός σε, ὁ θεὸς Ἰσραήλ. Εἰς τὴν Λιτήν, Στιχηρὰ Ἰδιόμελα, Ἦχ. αν

Χρεοστικῶς ἐκτελοῦμεν τὴν μνήμην σου, Κωνσταντῖνε ἰσαπόστολε, πάντων ἀνάκτων βάσις καὶ καύχημα· φωτισθεὶς γὰρ ἀκτῖσι τοῦ Πνεύματος, πᾶσαι ἐφαίδρυνας τὴν ἐκκλησίαν τοῦ Χριστοῦ, τὰ συστήματα τῶν πιστῶν πανταχόθεν συνάξας, ἐν τῇ λαμπρᾷ πόλει Νικαέων, ἔνθα τῶν ἀσεβῶν ἐσβέσθη τὸ φρύαγμα, καὶ αἱρετικῶν ἠσθένησαν γλῶσσαι, καὶ ἐμωράνθησαν, τῶν δὲ ὀρθοδόξων ὑψώθη τὸ στῖφος, φανερωθείσης τῆς πίστεως. Ὅθεν ὑπ᾽ αὐτῶν ἐδοξάσθης ὀρθοδοξότατος, καὶ πάντων βασιλέων ἐκηρύχθης πατήρ, ὡς πρῶτος τὴν ἁλουργίδα παρὰ Θεοῦ κομισάμενος· Διὸ αἰτοῦμεν σε, οἱ τελοῦντες τὴν μνήμην σου πιστῶς, αἴτησαι ἱλασμὸν ἁμαρτιῶν ταῖς ψυχαῖς ἡμῶν. Ὁ αὐτός.

Οὐκ ἐξ ἀνθρώπων τὴν κλῆσιν ἔλαβες, ἀλλ᾽ ὡς θεσπέσιος Παῦλος, ἔσχες μᾶλλον ἔνδοξε ταύτην ἐξ ὕψους Κωνσταντῖνε ἰσαπόστολε, παρὰ Χριστοῦ τοῦ Θεοῦ· τὸ γὰρ σημεῖον τοῦ Σταυροῦ, ἐν οὐρανῷ θεασάμενος, καὶ δι᾽ αὐτοῦ ἀγρευθείς, ὡς κάλλιστον θήραμα, ἐν τούτῳ καὶ νικητής, κατὰ ὁρουμένων καὶ ἀοράτων ἐχθρῶν, ἀπεφάνθης ἀήττητος. Ὅθεν δυσωποῦμέν σε, ὡς πρέσβυν θερμότατον, οἱ γηγενεῖς ἐπαξίως τὴν μνήμην σου σέβοντες ἐν παρρησίᾳ αἰτήσασθαι ἡμῖν φωτισμὸν καὶ τὸ μέγα ἔλεος. Ἦχος β. Βύζαντος.

Τοῦ εὐσεβοῦς Κωνσταντίνου ἡ μνήμη, ὡς μύρον ἐκκενούμενον σήμερον ἀνέτειλε· Χριστὸν γὰρ ποθήσας, εἰδώλων κατεφρόνησε, ναὸν ἐγείρας ἐπὶ γῆς, τῷ σταυρωθέντι δι᾽ ἡμᾶς· ἐν οὐρανοῖς δὲ ἀπέλαβε, τὸν τῆς ἐλπίδος στέφανον. Ἦχ. γ.

Νεανικὴν ἄγων τὴν ἡλικίαν· ὥσπερ· ὁ θεσπέσιος Παῦλος, ἐκ τῶν ὑψίστων ἐδέξω τὸ θεῖον χάρισμα καὶ τοῦ δεινοῦ πολεμήτορος τὰ θράση, τῇ πανσωλίᾳ τοῦ



Σταυροῦ κατέβαλες, ἀνάκτων τὸ καύχημά, Κωνσταντῖνε ἰσαπόστελε· ὑπὲρ ἡμῶν πρὸς Κύριον ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Ἦχ. δ.

Αἶνος τῷ Θεῷ, ἐκ χοϊκῶν χειλέων προσάδεται, ἐπὶ τῇ θείᾳ μνήμῃ σου Κωνσταντῖνε πανεύφημε. Σὺ γὰρ ὤφθης ἀκραιφνὴς στρατιώτης τοῦ λόγου τῆς πίστεως, φαυλίσας ἐν τῷ σκάμματι, τῶν εἰδώλων τὰς μορφάς· καὶ νῦν προσηρείσθης τῷ φέγγει τῆς Τριάδος, καταπυρσεύων ἡμων, τὰς διανοίας ταῖς πρεσβείαις σου.

Δόξα, ἦχος πλ. α.

Ἡ Ἐκκλησία σήμερον στολισαμένη, τῷ κράτει Ἄναξ, μυστικῶς εὐφραίνεται καὶ τὴν σὴν παγγέραστον μνήμην, κατ᾽ ἀξίαν εὐφήμως γεραίρει κραυγάζουσα· Χαίροις, ὁ τὸν Παῦλον ζηλώσας, καὶ τὸν Σταυρὸν τοῦ Χριστοῦ ἀράμενος, καὶ τὰς παγίδας συντρίψας τοῦ ἀντιπάλου. Χαίροις, ἀνάκτων πανάριστε καὶ Ἀποστόλων ἰσότιμε, Χαίροις, πιστῶν τὸ στήριγμα καὶ Βασιλέων, τὸ προπύργιον. Κωνσταντῖνε μακάριε, ὑπὲρ ἡμῶν πρὸς Κύριον, μὴ διαλίπῃ πρεσβεύων, ὡς παρρησίαν ἔχων, Βασιλέων ἐγκαλλώπισμα. Καὶ νῦν. Ἦχ. ὁ αὐτός. Ἀναστάσεως ἡμέρα

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτηξώμεθα· εἴπωμεν ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς συγχωρήσωμεν, πάντα τῇ Ἀναστάσει, καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη ἐν νεκρῶν θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Εἰς τὸν Στίχον, Στιχηρὰ προσόμοια. ἦχος β. Ὅτε, ἐκ τοῦ ξύλου σου νεκρά.

Πρῶτος, βασιλεὺς Χριστιανῶν, παρὰ τοῦ Θεοῦ Κωνσταντῖνε, τὸ σκῆπτρον ἔλαβες· σοὶ γὰρ πεφανέρωται ἐν γῇ κρυπτόμενον, τὸ σωτήριον σύμβουλον, δι᾽ οὗ καὶ τὰ ἔθνη, πάντα καθυπέταξα τοῖς τῶν Ρωμαίων ποσίν, ὅπλον ἀπροσμάχητον ἔχων, τὸν ζωοποιὸν Σταυρὸν μάκαρ, δι᾽ οὗ καὶ προσήχθης τῷ Θεῷ ἡμῶν.

Στίχ. Ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου. Ἐκ τοῦ Μηναίου σελ. 74.

Ὄντως, μακαρία ἡ γαστήρ, καὶ ἡγιασμένη κοιλία, ἡ σὲ βαστάσασα, Μέδων κοσμοπόθητε, Χριστιανῶν ἡ χαρά, Κωνσταντῖνε θεόστεπτε Ρωμαίων ἡ δόξα, πλοῦτος καὶ ὑπέρμαχος τῶν ὀρφανῶν καὶ χηρῶν, σκέπη ταπεινῶν καὶ ἀπόρων, θλίψεων ἀνόρθωσις ὄντως καὶ τῶν αἰχμαλώτων ἡ ἀνάρρυσις.

Στιχ. Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου ἔλλαιον ἀγαλλιάσεως.

Πόθῳ καὶ ἀγάπῃ τοῦ Χριστοῦ, κατεπειγομένη ἡ μήτηρ, τοῦ γλυκυτάτου βλαστοῦ, σπεύδουσα ἀφίκετο ἐν τῇ ἁγίᾳ Σιών, εἰς τὸν τόπον τὸν ἅγιον, ἐν ᾧ ἐσταυρώθη, θέλων ὁ Σωτὴρ ἡμῶν, διὰ τὸ σῶσαι ἡμᾶς· ἔνθα τὸν Σταυρὸν ἀραμένη, χαίρευσα ἐκραύγαζε· Δόξα τῷ δωρησαμένῳ μοι ὃν ἤλπιζον. Δόξα, ἦχ. πλ. δ'.

Σέλας φαεινότατον, κομήτης ἑσπερώτατος, ἐξ ἀπιστίας εἰς πίστιν θεότητος μετοχετευθείς, ἤχθης ἁγιάσαι λαὸν καὶ πόλιν· καὶ τύπον Σταυροῦ ἐν οὐρανῷ κατοπτεύσας, ἤκουσας ἐκεῖθεν· Ἐν τούτῳ νίκα τοὺς ἐχθρούς σου. Ὅθεν δεξάμενος τὴν γνῶσιν τοῦ Πνεύματος, ἱερεύς τε χρισθεὶς καὶ Βασιλεύς, ἐλαίῳ ἐστήριξας τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ὀρθοδόξων Βασιλέων πατήρ, οὗ καὶ ἡ λάρναξ ἰάσεις βρύει, Κωνσταντῖνε ἰσαπόστολε, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς, συμπεσούσης Παρ. Τῆς Σρμαρείτιδος εἰς τὸ 1899. Ἦχ. π. δ.

Τάδε λέγει Κύριος τῇ Σαμαρείτιδι· Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ καὶ τίς ἐστιν ὁ λέγων σοι, Δός μοι ὕδωρ πιεῖν. σὺ ἂν ἤτησας αὐτόν, καὶ ἔδωκας πιεῖν, ἵνα μὴ διψήσῃς εἰς τὸν αἰῶνα· λέγει Κύριος. Ἀπολυτίκιον, ἦχ. πλ. δ.

ΕΙΟΣ ΒΙΒΛΙΟΘ
ΤΟΡΗΣ ΠΑΠΑ

Τοῦ Σταυροῦ τὸν τύπον ἐν οὐρανῷ θεασάμενος, καὶ ὡς ὁ Παῦλος τὴν κλῆσιν οὐκ ἐξ ἀνθρώπων δεξάμενος, ὁ ἐν βασιλεῦσιν Ἀπόστολός σου, Κύριε, Βασιλεύουσαν πόλιν τῇ χειρί σου παρέθετο· ἣν περίσωζε διὰ παντὸς ἐν εἰρήνῃ, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε. Δόξα, ἦχ. γ. Θείας πίστεως. Ὡρολ. σελ. 372.

Πρῶτος πέφηνας ἐν Βασιλεῦσι, θεῖον ἕδρασμα τῆς εὐσεβείας, καὶ τὴν ὀρθόδοξον πίστιν, τῷ κόσμῳ ἐφήπλωσας, τοῦ γὰρ Χριστοῦ τὸν Σταυρὸν σὺ ἐφανέρωσας, τὸν ἐν τῷ βάθει τῆς γῆς φθόνῳ Ἑβραίων κρυπτόμενος· Κωνσταντῖνε ἰσαπόστολε σὺν μητρὶ Ἑλένῃ θεόφρονι, πρεσβεύσατε Χριστῷ δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος,

Καὶ τῆς Ἑορτῆς καὶ Ἀπόλυσις. Εἰς τὸν Ὄρθρον. Καθίσματα ά. στ. ἦχ. γ.

Νέος γέγονας, Δαυῒδ τοῖς τρόποις ; γέρας ἄνωθεν, εἰσδεδεγμένος, τῆς βασιλείας τῇ κορυφῇ σου τὸ ἔλαιον· σὲ γὰρ τῷ Πνεύματι ἔχρισεν ἔνδοξε, ὁ ὑπερούσιος Λόγος καὶ Κύριος· ὅθεν ἔλαβες, καὶ σκῆπτρον Σοφὲ βασίλειον, αἰτούμενος ἡμῖν τὸ μέγα ἔλεος. Καὶ τῆς Ἑορτῆς ἡ Θεοτοκίον. Ὁ αὐτός. Θείας πίστεως.

Θεία γέγονας, σκήνη τοῦ λόγου, μόνη Πάναγνε Παρθενομήτωρ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράσασα· τὸν ὑπὲρ πάντας ἐμὲ γοῦν γενόμενον, ἐρρυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον, πρεσβειῶν ἐνθέας νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος. Κάθισμα β΄ στιχόλ. ἦχος πλ. β.

Ἑλκόμενος ἐπὶ Σταυροῦ, ὁ Ποιητὴς τοῦ ἡλίου καὶ κτίσεως, σὲ ὡς ἀστέρα φαεινὸς, ἐξ οὐρανοῦ δι᾽ ἀστέρων ἐφειλκύσατο, ᾧ καὶ κράτος πρῶτος τὸ βασίλειον ἐπέθηκε· διό σε ἀνευφημοῦμεν, Κωνσταντῖνε Βασιλεῦ εὐσεβέστατε, σὺν Ἑλένῃ μητρὶ τῇ θεόφρονι. Καὶ νῦν Θεοτοκίον ἦχος πλ. β΄.

Ἐλπὶς καὶ σκέπη καὶ λιμὴν, τῶν εἰς σὲ προστρεχόντων, θεοκυῆτορ ἀγαθὴ, προστασία τοῦ κόσμου, ἱκέτευε σὺν Ἀσωμάτοις ἐκτενῶς, ὃν ἔτεκες φιλανθρωπότατον Θεὸν, ρυσθῆναι τὰς ψυχὰς ἡμῶν, ἐκ πάσης ἀπειλῆς, μόνη εὐλογημένη.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα, ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἡ εὔσημος μνήμη σου, ἐπιφανεῖσα ἡμῖν, αὐγάζει τὰ πέρατα, θεογνωσίας φωτὶ, Κωνσταντῖνε θεόπνευστε· σὺ γὰρ ἐν Βασιλεῦσιν, εὐσεβὴς ἀνεδείχθης, νόμους ἐπουρανίου, Βασιλέως τηρήσας· διὸ ταῖς ἱκεσίαις ταῖς σαῖς, ρῦσαι ἡμᾶς πειρασμῶν. Δόξα, ἦχος α΄. Τὸν τάφον σου Σωτὴρ.

Ζηλώσας Ἡλίου, εὐσεβείας τὸν τρόπον, ἀνάκτων εὐσεβῶν, Κωνσταντῖνε τὸ κῦδος, Πατέρων συνήθροισας, θεοφόρων ὁμήγυριν, οἷς ἐστήριξας, τῶν ὀρθοδόξων τὰ στήφη, ὁμοούσιον, Πατρὶ τὸν λόγον δοξάζειν, καὶ Πνεύματι σύνθρον. Καὶ νῦν Θεοτοκίον

Ὁδήγησον ἡμᾶς, ἐν ὁδῷ μετανοίας, ἐκκλίνοντας ἀεὶ, πρὸς κακῶν ἀνοδίας, καὶ τὸν ὑπεράγαθον, παροργίζωντας Κύριον, ἀπειρόγαμε, εὐλογημένη Μαρία, καταφύγιον, ἀπεγνωσμένων ἀνθρώπων, Θεοῦ ἐνδιαίτημα.

Οἱ Ἀναβαθμοὶ τὸ α΄ Ἀντίφωννν τοῦ δ΄ ἦχου.

Ἐκ νότητός μου, πολλὰ πολέμει με πάθη· ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ καὶ σῶσον Σωτήρ μου. Δίς.

Οἱ μισοῦντες Σιὼν αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γὰρ πυρὶ ἔσεσθαι ἀπεξηραμένοι. Δίς. Δόξα πατρ. ἰ

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται καὶ καθάρσει, ὑψοῦται λαμπνύνεται, τῇ Τριαδικῇ Μονάδι, ἱεροκρυφίως. Καὶ νῦν καὶ ἀεί.



Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ρεῖθρα ἀρδεύοντα ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν. Προκείμενον, ἦχος δ΄.

Ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου, εὗρον Δαυῒδ τὸν δοῦλόν μου, ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν. Στίχ. Διὰ τοῦτο ἔχρισέ σε, ὁ Θεὸς, ὁ Θεός σου, ἔλαιον ἀγαλιάσεως

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται, καὶ ἐξελευσεται, καὶ νομὴν εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται, εἰμὴ ἵνα κλέψῃ, καὶ θύσῃ, καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσιν. Ἐγὼ εἰμὶ ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. Ὁ μισθωτὸς δέ, καὶ οὐκ ὢν ποιμὴν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ, καὶ σκορπίζει τὰ πρόβατα. Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτὸς ἐστὶ, καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς, καὶ γινώσκω τὰ ἐμὰ, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. Καθὼς γινώσκει με ὁ Πατὴρ, καγὼ γινώσκω τὸν Πατέρα· καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν· καὶ τῆς φωνῆς μου ἀκούσουσοι· καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

Ὁ Ν. 50. Δόξα, Ταῖς τῶν θεοστέπτων πρεσβείαις ἐλεήμων. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Εἶτα Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἦχος β΄.

Τοῦ εὐσεβοῦς Κωνσταντίνου ἡ μνήμη, ὡς μύρον ἐκκενούμενον σήμερον ἀνέτειλε· Χριστὸν γὰρ ποθήσας, εἰδώλων κατεφρόνησε, ναὸν ἐγείρας ἐπὶ γῆς, τῷ σταυρωθέντι δι᾽ ἡμᾶς· ἐν οὐρανοῖς δὲ ἀπέλαβε. τὸν τῆς ἐλπίδος στέφανον.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου ιβ΄. Οἱ κανόνες τῆς Ἑορτῆς, καὶ τῶν ἁγίων. ἦχος πλ. δ. Ὠδὴ α΄. Ὑγρὰν διοδεύσας.

Μόνε ἐπουράνιε Βασιλεῦ, τῆς βασιλευούσης, ἁμαρτίας νῦν ἐπ᾽ ἐμοί, τῶν σῶν θεραπόντων ἱκεσίαις, τὴν ταπεινήν μου ψυχὴν ἐλευθέρωσον.

Τῆς ἄνω γενόμενος ἐραστὴς, μάκαρ Κωνσταντῖνε, Βασιλείας τῷ Βασιλεῖ, πάντων καὶ Δεσπότῃ διανοίᾳ, καθαρωτάτῃ πιστεύσας ἐλάτρευσας. Δόξα.

Φωτὶ ἐλλαμφθεῖσα θεαρχικῷ, σκότος ἀγνωσίας καταλέλοιπας ἀληθῶς. θεόφρων Ἑλένη καὶ γνησίως, τῷ Βασιλεῖ τῶν αἰώνων ἐδούλευσας. Καὶ νῦν Θεοτοκίον.

Ἡ πύλη τῆς θείας ἀνατολῆς, ἄνοιξον μοι πύλας. μετανείας καὶ ἐκ πυλῶν, τῆς θανατηφόρου ἁμαρτίας, τῇ μεσιτείᾳ σου ρῦσαί με Δέσποινα.

Καταβασίαι τοῦ Πάσχα ἦχ. α΄.

Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν λαοὶ, Πάσχα Κυρίου Πάσχα, ἐκ γὰρ θανάτου πρὸς ζωὴν, καὶ ἐκ γῆς πρὸς οὐρανὸν Χριστὸς ὁ Θεὸς, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντες. Ὠδὴ γ. Οὐρανίας ἀψῖδος.

Ἀμειβῶν οὐρανίων, ἐπιτυχεῖν ἔσπευσας· ὅθεν τῷ καλοῦντι θεόφρον ἐπηκολούθησας καὶ σκότος ἔλιπες, πατροπαράδοτον πλάνην, καὶ φωστὴρ ἐν Πνεύματι θείῳ γεγένησαι

Τῷ Χριστῷ κολληθεῖσα, καὶ ἐπ᾽ αὐτῷ Πάνσεμνε, ἅπασαν θεμένη ἐλπίδα τοὺς ἱεροὺς αὐτοῦ, τόπους κατέλαβες, ἐν οἷς τὰ ἄχραντα πάθη, σαρκωθεὶς ὑπέμεινεν, ὁ ὑπεράγαθος. Δόξα πατρὶ καὶ Υἱῷ.

Τὸ σωτήριον ὅπλον, τὸ ἀρραγὲς τρόπαιον τῶν Χριστιανῶν τὴν ἐλπίδα Σταυ-

ρὸν τὸν τίμιον, φθόνῳ κρυπτόμενον, σὺ ἐφανέρωσας θείῳ φλεγομένη ἔρωτι θεομακάριστε. Καὶ νῦν Θεοτοκίον.

Ἱερᾶς πολιτείας, ἀποπεσὼν Ἄχραντε, παρασυνεβλήθην τοῖς κτήνεσι, καὶ κατάκριτος, ὅλος γεγένημαι· ἡ τὸν Κριτὴν τετοκυΐα πάσης κατακρίσεως ῥῦσαι καὶ σῶσόν με. Καταβασία.

Δεῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ' ἀφθαρσίας πηγήν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ἐν ᾧ στερούμεθα. Αἴτησις. Παρὰ τοῦ ἱερέως. Ὅτι σὺ ὁ Θεὸς ἡμῶν. Κάθισμα, ἦχ. πλ. δ. Τὴν σοφίαν καὶ Λόγον.

Τὰς αἰσθήσεις ἐκτείνας πρὸς οὐρανόν, καὶ τῶν ἄστρων μανθάνων τὴν καλλονὴν ἐκ τούτων μέμνησαι, τῶν ἁπάντων τὸν Κύριον· τοῦ Σταυροῦ δὲ τὸ ὅπλον, ἐν μέσῳ ἀνέλαμψε, διαγράφον ἐν τούτῳ νικᾷν, καὶ κρατύνεσθαι· ὅθεν τῆς ψυχῆς σου, ἐπάναξας τὸ ὄμμα, τὸ γράμμα ἀνέγνωκας καὶ τὸν τρόπον μεμάθηκας, Κωνσταντῖνε πανσέβαστε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σας. Δόξα τὸ αὐτό· Καὶ νῦν Θεοτοκ.

Παναγία Παρθένε Μήτηρ Θεοῦ, τῆς ψοχῆς μου τὰ πάθη τὰ χαλεπά, ἴασαι δέομαι, καὶ συγγνώμην παράσχου μοι, τῶν ἐμῶν πταισμάτων, ἀφρόνως ὧν ἔπραξα, τὴν ψυχὴν καὶ τὸ σῶμα, μολύνας ὁ ἄθλιος. Οἴμοι! τί ποιήσω ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἡνίκα οἱ Ἄγγελοι τὴν ψυχήν μου χωρίζουσιν, ἐκ τοῦ ἀθλίου μου σώματος; Τότε Δέσποινα βοήθεια μοι γενοῦ, καὶ προστάτης θερμότατος· σὲ γὰρ ἔχω ἐλπίδα, ὁ ἀνάξιος δοῦλός σου. Ὠδὴ δ. Εἰσακήκοα Κύριε.

Οὐρανόθεν ὡς Παῦλόν σε, πάλαι σαγηνεύει Χριστὸς ὁ Κύριος, Κωνσταντῖνε ἐκδιδάσκων σε Βασιλέα τοῦτον μόνον σέβεσθαι. Ἅγιοι τοῦ Θεοῦ.

Ὑπερλάμπρῳ σε σημείῳ σε, Μάκαρ δι' ἀστερῶν Χριστὸς ὁ Κύριος, ὁ ἥλιος καταυγάζει καὶ φωστῆρά σε, τῶν ἐσκοτισμένων ἀναδείκνυσι.

Καὶ τοῖς τρόποις φιλόθεος, καὶ ταῖς θείαις πράξεσιν ἀξιάγαστος, Μακαρία ἐχρημάτησας· διὰ τοῦτο πίστει σε δοξάζωμεν. Δόξα πατρὶ καὶ υἱῷ.

Φανεροῖς τὸ κρυπτόμενον, χρόνοις ἐπὶ πλείστοις νῦν θεῖον τρόπαιον, τοῖς Σταυροῦ, δι' οὗ σεσκώσμεθα καὶ δαιμόνων πλάνης ἐλυτρώθημεν. Καὶ νῦν Θεοτοκίον

Τὴν ψυχήν μου καταύγασον, τὴν ἐσκοτισμένην τοῖς πλημμελήμασιν, ἡ τὸν Ἥλιον κυήσασα, τῆς δικαιοσύνης ἀειπάρθενε. Καταβασία.

Ἐπὶ τῆς θείας φυλακῆς, ὁ θεηγόρος Ἀββακούμ, στήτω μεθ' ἡμῶν καὶ δεικνύτω φαεσφόρον ἄγγελον, διαπρυσίως λέγοντα· σήμερον σωτηρία τῷ κόσμῳ ὅτι ἀνέστη Χριστὸν ὡς Παντοδύναμος. Ὠδὴ ε. Ὀρθρίζοντες βοῶμεν.

Ὀρθρίσας πρὸς τὸν ἄδυτον ἥλιον καὶ Δεσπότην, Βασιλεῦ θεόσοφε, φωτὸς ἀνάπλεως γέγονας. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἀγάπην καὶ τελείαν συμπάθειαν, ὡς πορφύραν, φοροῦσα κατῴκησας, νῦν εἰς τὰ ἄνω βασίλεια. Δόξα πατρὶ καὶ υἱῷ.

Συνήφθης ἀσωμάτων Ἑλένη, χοροστασίαις, Θεὸν θεραπεύσασα, ταῖς ἐναρέτοις σου πράξεσι. Καὶ νῦν Θεοτοκίον.

Παρθένε τὴν ψυχήν μου καθάρισον, μολυνθεῖσαν, ἡδοναῖς τοῦ σώματος, τῇ ἐπηρείᾳ τοῦ ὄφεως' Καταβασίας

Ὀρθρίσωμεν ὄρθρου βαθέως, καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσωμεν τῷ Δεσπότῃ καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα..



Ὠδὴ ΣΤ'. Τὴν δέησιν ἐκχεῶ.

Συνήθροισας θεοφόρων Πατέρων, τὸν μακάριον χορὸν παραδόξως, καὶ δι' αὐτῶν, Κωνσταντῖνε τὰς πάντων, κυμαινομένας καρδίας ἐστήριξας, ὁμότιμον δοξολογεῖν, τῷ τεκόντι τὸν Λόγον καὶ σύνθρονον. Ἅγιοι τοῦ Θεοῦ.

Πιστεύσασα ἐπὶ Κύριον ζῶντα, τὸν τὸ εἶναι παρεχόμενον πᾶσι, τῶν βδελυκτῶν, καὶ ματαίων εἰδώλων, νεκροποιὰ ἀπεβάλου θρησκεύματα, καὶ εἴληφας περιχαρῶς βασιλείαν Ἑλένη οὐράνιον. Δόξα πατρὶ καὶ Υἱῷ.

Παλάμῃ σου κυβερνώμενοι Λόγε, ἀγνωσίας τὸ βαθύτατον σκότος, καὶ τῆς δεινῆς, ἀθεΐας τὸν σάλον, οἱ διά σου βασιλεύοντες ἔλιπον, καὶ ἤχθησαν πρὸς γαληνούς, εὐσεβείας λιμένας γηθόμενοι. Καὶ νῦν. Θεοτοκίον.

Ἰάτρευσον ἀνιάτως νοσοῦσιν, καὶ τῷ δήγματι δεινῶς πληγωθεῖσαν, τοῦ πονηροῦ, τὴν καρδίαν μου Κόρη, καὶ τῆς ἐν σοὶ θεραπείας ἀξίωσον, καὶ σῶσόν με τὸν ἐπὶ σοί, πεποιθότα πρεσβείαις σου ἄχραντε. Καταβασία,

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλούς, αἰωνίους κατόχους πεπαιδημένων Χριστέ, καὶ τριήμερος, ὡς ἐκ κήτους Ἰωνᾶς ἐξανέστης τοῦ τάφου. Κοντάκιον, Ἦχος γ'. Ἡ Παρθένος σήμερον. Αἴτησις. Σὺ γὰρ εἶ ὁ Βασιλεύς.

Κωνσταντῖνος σήμερον, σὺν τῇ μητρὶ τῇ Ἑλένῃ, τὸν Σταυρὸν ἐκφαίνουσι, τὸ πανσεβάσμιον ξύλον, πάντων μὲν τῶν Ἰουδαίων αἰσχύνην ὄντα, ὅπλον δὲ πιστῶν Ἀνάκτων κατ' ἐναντίων δι' ἡμᾶς γὰρ ἀνεδείχθη, σημεῖον μέγα καὶ ἐν πολέμοις φρικτόν. Ὁ οἶκος.

Κωνσταντῖνον πιστοί, σὺν τῇ μητρὶ τημήσωμεν· τοῦ Προφήτου γὰρ αὐτοὶ λόγους ἀκροασάμενοι, ἐν κέδρῳ καὶ πεύκῃ καὶ κυπαρίσσῳ, τὸν τρισύνθετον Σταυρὸν κατενόησαν, δι' οὗ τὸ σωτήριον πάθος ἐξηκολούθησε· καὶ πάντας παρέστησαν τοὺς Ἰουδαίους παρασκευάζεσθαι, δεῖξαι τοῖς λαοῖς μέγα δικαίωμα, τὸ κεκρυμμένον διὰ τὸν φθόνον, καὶ βασκανίαν τὴν αὐτῶν· καὶ τοῦτο εὑρόντες ἀνέδειξαν αὐτοί. Διὰ τοῦτο τοῖς πᾶσι νικηφόροι ἀνεδείχθησαν, ὅπλον φέροντος ἀπροσμάχητον, σημεῖον μέγα, καὶ ἐν πολέμοις φρικτόν.

Τῇ 21. Μαΐου. Μνήμη τῶν Ἁγίων ἐνδόξων, Θεοστέπτων καὶ Ἰσαποστόλων μεγάλων Βασιλέων, Κωνσταντίνου καὶ Ἑλένης. Στίχοι. Ὡς κοινὸν εἶχον γῆς Βασιλεῖς τὸ στέφος ἔχουσι κοινὸν καὶ τὸ τοῦ πόλου στέφος. Ξήθανε μητέρι εἰκάδι πρώτῃ Κωνσταντῖνος.

Τῇ αὐτῇ Ἡμέρᾳ τοῦ Ἁγίου νέου Ὁσιομάρτυρος Παχωμίου μαρτυρήσαντος κατὰ τὸ ἔτος 1730.

Ἀργία καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου. Ἐὰν συμπέσει. Τετάρτη ἢ Παρασκευῇ.

Ταῖς τῆς Θεοτόκου καὶ τῶν Ἰσαποστόλων καὶ πάντων τῶν Ἁγίων Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς.

Ὠδὴ ζ'. Παῖδες Ἑβραίων. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε.

Σοῦ τὰ προστάγματα φυλάττων, ὑπεκλίθη σοῦ τῷ νόμῳ Κωνσταντῖνος· ἀνομούντων διό, καθεῖλε παρατάξεις, ἀναβοῶν σοι Κύριε· Ὁ Θεὸς εὐλογητὸς εἶ.

Ξύλον τὸ πάντας ἀνέλκυσαν, Ἀξιάγαστε ἐκ λάκκου ἀπωλείας, συγχωσθὲν φθονερῶς, ἡμῖν ἀνακαλύπτεις, καταχωννύον δαίμονας, ὀλεθρίους εἰς αἰῶνας. Δόξα πατρί.

Πράξεα θείαις ἐδομήσω, τὴν καρδίαν σου ναὸν Θεοῦ Ἑλένη καὶ ναοὺς ἱερούς, αὐτῷ ἀνῳκοδόμεις, ἔνθα σαρκὶ τὰ ἄχραντα, δι' ἡμᾶς ὑπέστη πάθη. Καὶ νῦν Θεοτ.

Γνώμῃ οἰκείᾳ ἁμαρτάνων, καὶ δουλούμενος ἀτόποις συνηθείαις, τῇ συνήθει σου

νῦν,προστρέχω συμπαθείᾳ·ἀπεγνωσμένον σῶσόνμε Παναγία Θεοτόκε. Καταβασία.

Ὁ παῖδας ἐκ καμίνου ρυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητός, καὶ διὰ πάθους τὸ θνητόν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος. Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Ὡς πορφυρίδα ἔνδοξε, στολισθεὶς τὴν εὐμένειαν, καὶ ὥσπερ χλαμίδα, τὴν καλὴν συμπάθειαν, στεφάνῳ κεκόσμησαι, τῶν ἀρετῶν τελείῳ νοΐ, καὶ μετατεθεὶς ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω, βασίλεια κραυγάζεις· ἱερεῖς εὐλογεῖται, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας. Ἅγιοι τοῦ Θεοῦ.

Εὐφραινομένην βλέποντες, σὺν υἱῷ σε Θεόφρονι, ἔνδοξε Ἑλένη, εἰς Θεοῦ βασίλεια, Χριστὸν μεγαλύνωμεν, τὸν τὴν ὑμῶν σεπτὴν ἑορτήν, δείξαντα ἡμῖν ὑπὲρ ἀκτῖνος ἡλίου, ἡμᾶς φωταγωγοῦσαν, τοὺς πιστῶς μελῳδοῦντας· λαὸς ὑπεριψοῦται, Χριστὸν εἰς τοὺς αἰῶνας. Δόξα πατρί.

Ὡς θαυμαστὸς ὁ πόθος σου ! καὶ ὁ τρόπος σου ἔνθεος ! ἔνδοξε Ἑλένη, γυναικῶν τὸ καύχημα· τοὺς τόπους γὰρ φθάσασα, τοὺς τὰ σεπτὰ παθήματα, ὑποδεξαμένους τοῦ Δεσπότου τῶν ὅλων, ναοῖς περικαλλέσι, κατεκόσμεις βοῶσα· Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας. Καὶ νῦν Θεοτοκίον.

Τὰ τῆς ψυχῆς μου ὄμματα, τοῖς πολλοῖς παραβάσεσιν, ἀποτυφλωθέντα Θεοτόκε, φώτισον, τὸν νοῦν μου εἰρήνευσον, καὶ τὴν καρδίαν δέομαι, ἐκταρατομένη, ἡδοναῖς πολυτρόποις, καὶ σῶσον με βοῶντα· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας. Καταβασία. Αἰνοῦμεν εὐλογοῦμεν καὶ προσκυνοῦμεν.

Αὕτη ἡ κλιτὴ καὶ ἁγίᾳ ἡμέρα,ἡ μία τῶν σαββάτων,ἡ βασιλὶς καὶ Κυρία ἑορτῶν ἑορτή, καὶ πανήγυρις ἐστὶ πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς. αἰῶνας. Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτω. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε,

Ὁ τάφος ἔνθα κεῖται τὸ ἱερόν, Κωνσταντῖνε καὶ τίμιον σῶμα σου,μαρμαρυγάς θείας καὶ ἀκτῖνας φωτολαμπεῖς τοῖς προσιοῦσι πάντοτε,βλύζει ἰαμάτων παντοδαπῶν,τὸ σκότος ἀπελαύνων,καὶ φέγγει ἀνεσπέρῳ,φωταγωγῶν τοὺς εὐφημοῦντα σε.

Ἁγίως σου τελέσασα τὴν ζωήν, σὺν Ἁγίοις νυ ὶ κατεσκήνωσας, ἁγιασμοῦ, πλήρης γενομένη καὶ φωτισμοῦ· καὶ ἰαμάτων πάντοτε, ὅθεν ἀναβλύζεις τοὺς ποταμούς,καὶ πάθη κατακλύζεις,Ἑλένη μακαρία,καὶ καταρδεύεις τὰς ψυχὰς ἡμῶν.

Προάναρχε ἀθάνατε βασιλεῦ, βασιλείας τῆς ἄνω ἠξίωσας, οὓς εὐσεβῶς, πάλαι ἐδικαίωσας ἐπὶ γῆς,τοῦ βασιλεύειν Κύριε,σὺ ἠγαπηκότας εἰλικρινῶς, Ἑλένην τὴν Ἁγίαν τὸν μέγαν Κωνσταντῖνον ὧν ταῖς πρεβείαις πάντας οἰκτειρον. Θεοτοκίον.

Τὸν πάντων Βασιλέα καὶ ποιητήν, συλλαβοῦσα Παρθένε ἐκύησας· καὶ νῦν ἰδού, οἷα περ Βασίλισσα δεξιᾷ, τούτου ἁγνὴ παρίστασαι· ὅθεν δυσοπῶσε ἀριστεράς,μερίδος λύτρωσαί με,ἐν ὥρᾳ καταδίκης,καὶ δεξιοῖς προβάτοις σύνταξον. Κατ.

Ὁ Ἄγγελος ἐβόα τῇ Κεχαριτωμένῃ· Ἁγνὴ Παρθένε, χαῖρε, καὶ πάλιν ἐρῶ χαῖρε· ὁ σὸς Υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου.

Φωτίζου,φωτίζου,ἡ νέα Ἱερουσαλὴμ ἡ γὰρ δόξα Κυρίου,ἐπὶ σὲ ἀνέτειλε χόρευε νῦν καὶ ἀγάλλου Σιών· σὺ δὲ ἁγνή,τέρπου Θεοτόκε ἐν τῇ ἐγέρσει τοῦτόκου σου.

Πρὸς εὐκολίαν τῶν φιλοθρήσκων παραχωροῦμεν καὶ τὰς Καταβασίας τῆς Ἀναλήψεως ὁμοίως καὶ τῆς Πεντηκοστῆς, διὰ νὰ μὴ δυσκολεύονται ἐν καιρῷ ἀνάγκης μὴ ἔχοντες Πεντικοστάριον Καταβασία τῆς Ἀναλήψεως ἦχος πλ. α'.

Τῷ σωτῆρι Θεῷ, τῷ ἐν θαλάσσῃ λαόν, ποσὶν ἀβρόχως ὁδηγήσαντι, καὶ Φαραὼ πανστρατιᾷ καταποντίσαντι, αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται.



Δυνάμει τοῦ Σταυροῦ σου Χριστέ, στερέωσον μου τὴν διάνοιαν, εἰς τὸ ὑμνεῖν, καὶ δοξάζειν σου τὴν σωτήριον Ἀνάληψιν.

Εἰσακήκοα τὴν ἀκοήν, τῆς δυναστείας τοῦ Σταυροῦ σου, ὡς Παράδεισος ἠνοίγη δι' αὐτοῦ, καὶ ἐβόησα· Δόξα τῇ δυνάμει σου Κύριε.

Ὀρθρίζωντες βοῶμεν σοι Κύριε· Σῶσον ἡμᾶς· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

Ἐκύκλωσέ με ἄβυσσος ταφή μοι τὸ κῆτος ἐγένετο ἐγὼ δὲ ἐβόησα, πρὸς σὲ τὸν φιλάνθρωπον, καὶ ἔσωσέ με ἡ δεξιά σου Κύριε.

Ὁ ἐν καμίνῳ πυρός, τοὺς ὑμνολόγους σώσας Παῖδας, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν. Αἰνοῦμεν εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων, γεννηθέντα Υἱὸν καὶ Θεόν, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων, σαρκωθέντα, ἐκ Παρθένου μητρός, ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Σὲ τὴν ὑπὲρ νοῦν καὶ λόγον Μητέρα Θεοῦ, τὴν ἐν χρόνῳ τὸν ἄχρονον ἀφράστως κυήσασαν, οἱ πιστοὶ ὁμοφρόνως μεγαλύνωμεν.

ΣΗΜ. Αἱ Καταβασίαι αὗται λέγωνται Κυριακὴ τοῦ τυφλοῦ καὶ τρίτῃ μετὰ τοῦ τυφλοῦ. Τῆς Πεντικοστῆς Καταβασίαις εἰς ἦχον δ'. Ὠδὴ α'.

Θείῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνότῳ, Ἐρητόρευσε τὸν θεόγραφον νόμον Ἰλὺν γὰρ ἐκτινάξας ὄμματος νόου. Ὁρᾷ τὸν ὄντα, καὶ μυεῖται Πνεύματος· Γνῶσιν, γεραίρω ἐνθέοις τοῖς ᾄσμασιν. Ὠδὴ γ',

Ἔρρηξε γαστρὸς ἡ τεκνωμένης πέδας, Ὕβριν δὲ δυσκάθεκτον εὐτεκνουμένης, Μόνη προσευχὴ τῆς Προφήτιδος πάλαι, Ἄννης, φερούσης πνεῦμα συντετριμμένον, πρὸς τὸν δυνάστην, καὶ Θεὸν τῶν γνώσεων. Ὠδὴ δ'.

Ἄναξ ἀνάκτων, οἷος ἐξ οἵου μόνος, Λόγος προελθών, Πατρὸς ἐξ ἀναιτίου, Ἰσοσθενές σου Πνεῦμα τοῖς Ἀποστόλοις, Νημερτὲς ἐξέπεμψάς ὡς εὐεργέτης. Ἄδουσι· Δοξα τῷ κράτει σου, Κύριε. Ὠδὴ ε'.

Λυτήριον κάθαρσιν ἀμπλακημάτων, Πυρίπνοον δέξασθαι πνεύματος δρόσον, Ὦ τέκνα φωτόμορφα τῆς Ἐκκλησίας· Νῦν ἐξ Σιὼν γὰρ ἐξελήλυθε νόμος. Ἡ γλωσσοπυρσόμορφος Πνεύματος χάρις. Ὠδὴ ς'.

Ἱλασμὸν ἡμῖν Χριστὲ καὶ σωτηρία, ὁ Δεσπότης ἔλαμψας ἐκ τῆς Παρθένου, Ἵν, ὡς Προφήτην θηρὸς ἐκ θαλαττίου, Στέρνην Ἰωνᾶν, τῆς φθορᾶς διαρπάσης, ὅλον τὸν Ἀδάμ, παγγενῆ πεπτωκότα. Ὠδὴ ζ'.

Σύμφωνον ἐθρόησεν ὀργάνων μέλος, Σέβειν τὸ χρυσότευκτον ἄψυχον βρέτας, Ἡ τοῦ Παρακλήτου δὲ φωσφόρος χάρις. Σεβασμιάζει τοῦ βοᾷν Τριὰς μόνη, Ἰσοσθενῆ, ἄναρχος εὐλογητὸς εἶ. Ὠδὴ η'. Αἰνοῦμεν εὐλογοῦμεν.

Λύει τὰ δεσμά, καὶ δροσίζει τὴν φλόγα, Ὁ τρισσοφεγγὴς τῆς θεαρχίας τύπος, Ὑμνοῦσι παῖδες, εὐλογεῖ δὲ τὸν μόνον, Σωτῆρα καὶ παντουργόν, ὡς εὐεργέτην, Ἡ δημιουργηθεῖσα σύμπασα κτίσις. Ὠδὴ θ'.

Ἄγγελοι καὶ ἄνθρωποι ἀνυμνοῦμεν, τρισὶν ἐν ὑποστάσεσιν, ἕνα Θεὸν ὁμοφώνως, Πατέρα Υἱὸν καὶ Πνεῦμα.

Χαίροις Ἄνασσα, μητροπάρθενον κλέος· Ἅπαν γὰρ εὐδίνητον εὔλαλον στόμα, Ῥητρεῦον, οὐ σθένει σοι μέλπειν ἀξίως· Ἰλιγγιᾷ δὲ νοῦς ἅπας σου τὸν τόκον Νοεῖν· ὅθεν σε συμφώνως δοξάζωμεν.

Αἱ Καταβασίαι αὗται λέγωνται ἀπὸ τῆς πέμπτης τῆς Ἀναλήψεως ἕως τῆς Ἀποδώσεως τῆς Πεντικοστῆς.

Ἐξαποστειλάριον, των Ἁγίων. Τοῖς μαθηταῖς συνέλθωμεν.

Οὐκ ἐξ ἀνθρώπων εἴληφε, τὸ βασίλειον κράτος, ἀλλ' ἐκ τῆς θείας χάριτος, Κωνσταντῖνος ὁ μέγας σὺν τῇ μητρὶ οὐρανόθεν· ἐξαστράπτον δὲ βλέπει, Σταυροῦ τὸ θεῖον τρόπαιον· ὅθεν τούτῳ ὀλέσας τοὺς δυσμενεῖς, τῶν εἰδώλων ἔλυσε τὴν ἀπάτην, ἐν κόσμῳ δὲ ἐκράτινε τὴν ὀρθόδοξον πίστιν. Θεοτοκίον,

Ὄρος θεοῦ πανάγιον, καὶ λυχνίαν καὶ στάμνον, καὶ κιβωτὸν καὶ τράπεζαν, ράβδον τε καὶ πυρεῖαν, καὶ θεῖον θρόνον καὶ πύλην, καὶ ναὸν καὶ παστάδα, ὑμνήσωμεν θεόφρονες, τὴν ἁγνὴν καὶ Παρθένον· ἐξ ἧς Θεός, σαρκωθεὶς ἀτρέπτως καὶ ὑπὲρ φύσιν, ἐθέωσε τὸ πρόσλυμμα, ἀπορρήτῳ ἑνώσει.

Καὶ τῆς Ἀναλήψεως ἐξαποστειλάριον, Αὐτόμελον, Ἦχ. β'. Ἐὰν καλέσει ἡ περίστ.

Τῶν μαθητῶν ὁρώντων σε ἀνελήφθης, Χριστὲ πρὸς τὸν Πατέρα συνεδριάζων. Αγγελοι προτρέχοντες ἐκραύγαζον· Ἄρατε πύλας ἄρατε· ὁ βασιλεὺς γὰρ ἀνῆλθε, πρὸς τὴν ἀρχίφωτον δόξαν. Ὁμοίως καὶ τῆς Πεντηκ. ἦχ. γ'. Ὁ οὐρανὸν τοῖς ἄστροις

Τὸ πανάγιον Πνεῦμα, τὸ προϊὸν ἐκ τοῦ Πατρός, καὶ δι' Υἱοῦ ἐνδυμῆσαν, τοῖς ἀγραμμάτοις μαθηταῖς, τοὺς σὲ θεὸν ἐπιγνώντας, σῶσον ἁγίασον πάντας. Ἕτ. ὅμοιον

Φῶς ὁ πατήρ, φῶς ὁ Λόγος, φῶς καὶ τὸ Ἅγιον Πνεῦμα, ὥσπερ ἐν γλώσσαις πυρίναις, τοῖς Ἀποστόλοις ἐπέμφθης· καὶ δι' αὐτοῦ πᾶς ὁ κόσμος φωταγωγεῖται Τριάδα σέβειν Ἁγίαν.

Εἰς τοὺς Αἴνους, Στιχηρὰ Προσόμοια. Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.

Χαίροις Κωνσταντῖνε πάνσοφε, ὀρθοδοξίας πηγή, ἡ ποτίζουσα πάντοτε, τοῖς γλυκέσι νάμασι, τὴν ὑφήλιον ἅπασαν. Χαίροις ἡ ῥίζα, ἐξ ἧς ἐβλάστησε, καρπὸς ὁ τρέφων, τὴν Ἐκκλησίαν Χριστοῦ. Χαίροις τὸ καύχημα, τῶν περάτων ἔνδοξε, Χριστιανῶν, βασιλέων πρώτιστε· Χαῖρε χαρὰ τῶν πιστῶν,

Ὁ βασιλεύων τῆς κτίσεως, τὸ εὐπειθὲς προορῶν, τῆς καρδίας σου πάνσοφε, λογικῶς θηρεύει σε, ἀλογίᾳ κρατούμενον, καὶ καταυγάσας τὴν σὴν διάνοιαν, τῆς εὐσεβείας ταῖς ἐπιγνώσεσι κόσμῳ ἀνέδειξε, φωταυγῆ ὡς ἥλιον, μαρμαρυγάς, θείων ὑποπέμποντα, πράξεων ἔνδοξε.

Τὰ τοῦ Κυρίου διδάγματα, καθάπερ γῆ ἐκλεκτή, δεξαμενὴ πανεύφημε ἐναρέτων πράξεων, ἀκαρπίαν ἐβλάστησας, τὰς διανοίας, ἡμῶν ἐκτρέφουσα, τῇ ἐκμιμήσει, Ἑλένη πάνσοφε, τῆς πολιτείας σου· ὅθεν ἑορτάζωμεν, περιχαρῶς, σήμερον τὴν μνήμην σου, πανηγυρίζωντες,

Ἔλαιον ἀγαλιάσεως, τοὺς σοὺς μετόχους Χριστέ, Κωνσταντῖνον Ἑλένην τε, παραδόξως ἔχρισας, τὴν ἀπάτην μισήσαντας, καὶ σοῦ τὸ κάλλος ἐπιποθήσαντας καὶ βασιλείας τῆς οὐρανίου σου, τούτους ἀξίωσας, εὐσεβῶς τὸ πρότερον, ἐπὶ τῆς γῆς, Λόγε βασιλεύσαντας, τῇ ἐπινεύσει σου. Δόξα Ἦχ. πλ. δ'. Μεθοδίου Πατριάρχου.

Ὁ τῶν ἀνάκτων Ἄναξ καὶ Θεός, ὁ πλουσίαις δωρεαῖς κατακοσμῶν τοὺς ἀξίους, αὐτὸς οὐρανόθεν, ὥσπερ Παῦλον τὸν ἀοίδημον, διὰ σημείου τοῦ Σταυροῦ, σὲ Κωνσταντῖνε ἐζώγρησεν, ἐν τούτῳ, φήσας, νίκα τοὺς ἐχθρούς σου· ὃν ἀναζητήσας σὺν μητρὶ θεόφρονε, καὶ εὑρὼν ὡς ἐπόθεις, τούτους κατὰ κράτος ἐτροπώσω. Σὺν αὐτῇ οὖν ἱκέτευε, ὑπὲρ ὀρθοδόξων βασιλέων, καὶ τοῦ φιλοχρήστου στρατοῦ, καὶ πάντων τῶν τὴν μνήμην σου τελούντων πιστῶς, τὸν μόνον φιλάνθρωπον, λυτρωθῆναι πάσης ὀργῆς,



Καὶ νῦν Θεοτοκίον. Δέσποινα πρόσδεξαι ἡ τῆς Ἀναλήψεως ἦχ. β'.

Ἐτέχθης, ὡς αὐτὸς ἠθέλησας· ἐφάνης ὡς αὐτὸς ἠβουλήθης· ἔπαθες σαρκί, ὁ Θεὸς ἡμῶν ἐκ νεκρῶν ἀνέστης, πατήσας τὸν θάνατον· ἀνελήφθης ἐν δόξῃ, ὁ τὰ σύμπαντα πληρῶν· καὶ ἀπέστειλας ἡμῖν Πνεῦμα θεῖον, τοῦ ἀνυμνεῖν καὶ δοξάζειν σου τὴν θεότητα. Καὶ τῆς Πεντ. Τὸ βασιλεῦ Οὐράνιε ἡ τοῦ Ἁγ. Πνεύμ. ἦχ. πλ. δ.

Γλῶσσαι ποτὲ συνεχέθησαν, διὰ τὴν τόλμην τῆς πυργοποιΐας· γλῶσσαι δὲ νῦν ἐσοφίσθησαν, διὰ τὴν δόξαν τῆς θεογνωσίας. Ἐκεῖ κατεδίκασε Θεὸς τοὺς ἀσεβεῖς τῷ πταίσματι, ἐνταῦθα ἐφώτισε Χριστὸς τοὺς ἁλιεῖς τῷ Πνεύματι. Τότε κατειγάσθη ἡ ἀφωνία, πρὸς τιμωρίαν ἄρτι καινουργεῖται ἡ συμφωνία, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν. Δοξολογία μεγάλη. Εἰσοδικόν.

Δεῦτε προσκυνήσωμεν, τὰς Κυριακὰς ἔχει μόνον ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, καὶ ἐν ἑορτῇ τῆς Ἀναλήψεως ἡ τῆς Πεντηκοστῆς τὰ Δεσποτικὰ εἰσοδικά.

Ὁ Ἀπόστολος Προκείμενον, ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν. Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Ἐν ταῖς ἡμέραις ἐκείναις, Ἀγρίππας ὁ βασιλεὺς πρὸς τὸν Παῦλον ἔφη· Ἐπιτρέπεταί σοι ὑπὲρ σεαυτοῦ λέγειν. Τότε ὁ Παῦλος ἀπελογεῖτο, ἐκτείνας τὴν χεῖρα. Ἐν οἷς καὶ πορευόμενος εἰς τὴν Δαμασκὸν μετ' ἐξουσίας καὶ ἐπιτροπῆς τῆς παρὰ τῶν Ἀρχιερέων, ἡμέρας μέσης, κατὰ τὴν ὁδὸν εἶδον, βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου, περιλάμψαν με φῶς καὶ τοὺς σὺν ἐμοὶ πορευομένους. Πάντων δὲ καταπεσόντων ἡμῶν εἰς τὴν γῆν, ἤκουσα φωνὴν λαλοῦσαν πρός με, καὶ λέγουσαν τῇ Ἑβραΐδι διαλέκτῳ· Σαοὺλ Σαοὺλ τί μὲ διώκεις; σκληρόν σοι πρὸς κέντρα λακτίζειν. Ἐγὼ δὲ εἶπον· Τίς εἶ, Κύριε; Ὁ δὲ εἶπεν· Ἐγὼ εἰμὶ Ἰησοῦς, ὃν σὺ διώκεις. Ἀλλὰ ἀνάστηθι, καὶ στῆθι ἐπὶ τοὺς πόδας σου· εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε εἶδες, ὧν τε ὀφθήσομαί σοι ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, εἰς οὓς νῦν σε ἀποστέλλω, ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ἐπιστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ τῆς ἐξουσίας τοῦ Σατανᾶ ἐπὶ τὸν Θεόν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν, καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις, πίστει τῆς εἰς ἐμέ. Ὅθεν, βασιλεῦ Ἀγρίππα, οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ· ἀλλὰ τῆς ἐν Δαμασκῷ πρῶτον καὶ Ἱεροσολύμοις, εἰς πᾶσαν τε τὴν χώραν τῆς Ἰουδαίας, καὶ τοῖς ἔθνεσιν, ἀπήγγελον μετανοεῖν, καὶ ἐπιστρέφειν ἐπὶ τὸν Θεόν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντας. Ἀλληλούϊα, ἦχ. α'.

Ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου. Στιχ. Ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῷ. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην. λε'. Κεφ. I. 1.

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος ἐστὶ κλέπτης ἐστὶ καὶ λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμὴν ἐστὶ τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει· καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ' ὄνομα, καὶ ἐξάγει αὐτά. Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ. Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξωνται ἀπ' αὐτοῦ ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν,

τίνα ἦν ἃ ἐλάλει αὐτοῖς, Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγὼ εἰμὶ ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶ καὶ λησταί· ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγὼ εἰμὶ ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται· καὶ εἰσελεύσεται καὶ ἐξελείπεται καὶ νομὴν εὑρήσει. Μεγαλυνάρια ὅρα ὄπισθεν εἰς τὸν παρακλητικὸν Κανόνα.

Περὶ τῆς ἑορτῆς τοῦ Ἁγίου Κωνσταντίνου πότε συμπίπτει εἶναι κυρίως εἰς τὴν 21 Μαΐου εἰς τὸ 1899. Παρασ. τῆς Σαμαρείτιδος, εἰς τὸ 1900 Βίσεκτος Κυρ. τῶν ἁγ. πατέρων, εἰς τὸ 1901. Δευτέρα τοῦ ἁγ. Πνεύματος, εἰς τὸ 1902 Τρίτη πρὸ τῆς Ἀναλήψεως, εἰς τὸ 1903. Τετάρτη μετὰ τῶν ἁγ. πατέρων, εἰς τὸ 1904 βίσεκτος παρασκευὴ μετὰ τῆς Πεντηκοστῆς, καὶ εἰς τὸ 1905 Σάββατον πρὸ τοῦ Τυφλοῦ, καὶ εἰς τὸ 1906 Κυριακὴ τῆς πεντηκοστῆς, καὶ διὰ τὸν ἑξῆς λόγον ἐπροσθέσαμεν εἰς τὴν ἀκολουθίαν Καταβασίαις Ἐξαποστειλάρια καὶ Δοξαστικὰ τῆς Ἀναλήψεως καὶ πεντηκοστῆς πρὸς εὐκολίαν, ὁ νοεῖν νοείτω.

Κανὼν παρακλητικός, εἰς τοὺς ἁγίους ἐνδόξους μεγάλους βασιλεῖς καὶ Ἰσαποστόλους Κωνσταντῖνον καὶ Ἑλένην. Ὑπὸ τοῦ Ἀργυρουπόλεως Σεραφεὶμ σ. 156. Μετὰ τὸ Εὐλογητόν. Κύριε εἰσάκουσον· εἶτα τὸ Θεὸς Κύριος, καὶ τὸ τροπάριον ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Τοὺς Ὀρθοδόξων βασιλέων προστάτας, οἱ συνεχόμενοι δεινοῖς ἀνυποίστους, ἐκλυπαροῦντες κράξωμεν ἐκ βάθους ψυχῆς, Κωνσταντῖνε μέγιστε καὶ θεόφρον Ἑλένη, λιταῖς ὑμῶν, θεόσεπτοι, πάσης ῥύσασθαι βλάβης, καὶ ἐκ δεινῶν λυτρώσασθε ἡμᾶς, ὡς πρεσβευταὶ ἀεὶ ἡμῶν θερμότατα. Δόξα τὸ αὐτό, καὶ νῦν. Τῇ Θεοτόκῳ ἐκτενῶς. Ὠδὴ α'. ἦχ. πλ. δ'. Ὑγρὰν Διοδεύσας. Κωνσταντῖνον Ἑλένη Ἄνακτας γεραίρω.

Κύριε τῆς δόξης καὶ βασιλεῦ τῆς κυριευούσης ἀσθενείας με χαλεπῆς, τῶν σεπτῶν Ἀνάκτων ἱκεσίαις, τὸν σὸν οἰκέτην εὐσπλάγχνως ἀπάλλαξον. Ἅγ. τοῦ Θεοῦ.

Ὡς ὄντως ἐγένου σὺ ἐραστής, Κωνσταντῖνε μέγα, βασιλείας τῶν Οὐρανῶν οὕτω τὸν σὸν δοῦλον βασιλεύειν, κατὰ παθῶν καὶ δαιμόνων ἀξίωσον. Δόξα.

Νοός μου τὸ σκότος, ταῖς σαῖς εὐχαῖς, Ἑλένη θεόφρον, καταλάμπρυνον ταῖς φαιδραῖς, ἃς ἀπολαμβάνεις ἀεννάως, θεαρχικὰς Οὐρανίας λαμπρότητας. Καὶ νῦν. Θεοτ.

Σὺ ὄντως τῆς θείας Ἀνατολῆς, ὑπάρχουσα πύλη, πύλας ἄνοιξόν μοι Ἁγνή, μετανοίας ἀληθοῦς, καὶ ἐκ πυλῶν με τῆς ἁμαρτίας λιταῖς μου ἐξάρπασον.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος. Ἅγιοι τοῦ Θεοῦ.

Τυχεῖν σπεύσας ἐνθέων ἀνταμοιβῶν, Πάνσεπτε, πλάνην σὺ κατέλιπες καὶ σκότος πατροπαράδοτον· καμὲ οὖν δέομαι, δαιμονικῆς, σαῖς πρεσβείαις, πλάνην σκοτιζούσης τὸν νοῦν μου ἀπάλλαξον. Ἅγιοι τοῦ Θεοῦ.

Ἀπὸ πάσης ἀνάγκης καὶ τῶν δεινῶν λύτρωσαι, ἅπαντας τοὺς πίστει, Ἑλένη σὺ καταφεύγοντας, ταῖς ἱκεσίαις σου, πρὸς τὸν τεχθέντα ἀφράστως, καὶ Σταυρὸν καὶ θάνατον καθυπομείναντα.

Ναὸν θεῖον, Ἑλένη ἐν τῇ Σιὼν κτίσασα, καὶ τὸ ἀρραγὲς Χριστιανῶν θεῖον τρόπαιον, σὺ φανερώσασα, ὑπὲρ ἡμῶν ἐκδυσώπει, ἀρραγῆ καὶ ἄτρεπτον τὴν πίστιν τηρησάσθαι. Θεοτοκίον.

Τὸν βυθῷ ἁμαρτίας, διηνεκῶς κείμενον δοῦλόν σου, Παρθένε, ὡς εὔσπλαγχνος σὺ ἐξέγειρον· σῶσόν με εἴκτειρον· Σὺ γὰρ λιμὴν τῶν ἐν ζάλῃ, καὶ τῶν πεπτωκότων θεία ἀντίληψις. Ὠδὴ δ. Εἰσακήκοα Κύριε Ἅγιοι τοῦ Θεοῦ.



Ἱλασμὸν καὶ συγχώρησιν, τὸν Παμβασιλέα Θεὸν ἱκέτευε, τῶν πταισμάτων μοι δωρήσασθαι, Κωνσταντῖνε Μέδων ἁγιώτατε. Ἅγιοι τοῦ Θεοῦ.

Νῦν Ἀνάκτων τὸ καύχημα, θεῖε Κωνσταντῖνε, φωτὶ παρίστασαι τῆς Τριάδος, τὰς ψυχὰς ἡμῶν καταλάμπων θείαις ἱκεσίαις σου. Ἅγιοι τοῦ Θεοῦ.

Ὄντως Μέδων Παμπόθητε, σὺ τῶν Ὀρθοδόξων εἶ τὸ κραταίωμα, τῶν πτωχῶν μέγας ὑπέρμαχος καὶ τῶν αἰχμαλώτων ἡ ἀνάρρυσις. Θεοτοκίον.

Νῦν ψυχήν μου Πανάχραντε, τὴν ἐσκοτισμένην τοῖς παραπτώμασι, ὡς Θεὸν σαρκὶ κυήσασα, φωτὶ οὐρανίῳ καταλάμπρυνον. Ὠδὴ ε. Φώτισον ἡμᾶς. Ἅγ. τοῦ Θεοῦ.

Ἔλαβες, σεπτέ, ἐκ Θεοῦ σοφίαν ἄμετρον, καὶ τοῦ Σολομῶντος τὴν φρόνησιν διὸ σοφίᾳ λιταῖς σου θείᾳ με καταγλάϊσον. Ἅγιοι τοῦ Θεοῦ.

Λάμπρυνον στολὴν τῆς ψυχῆς μου, ἰσαπόστολε, ἣν παθῶν κήλυσιν ἠμαύρωσα, καὶ εἰς νυμφῶνα τοῦ Ὑψίστου μὲ εἰσάγαγε. Δόξα πατρί.

Ἔφερες εἰς φῶς τὸν κρυπτόμενον, ἐν ἔτεσι πλείστοις τοῦ Σωτῆρος τάφον τὸν Ἅγιον, ὃν προσκυνῆσαι, ὦ Ἑλένη με ἀξίωσον. Καὶ νῦν Θεοτοκίον.

Νέφη τῶν παθῶν ἀποσόβησον, Πανάχραντε, ὡς φωτὸς νεφέλη ὑπάρχουσα, ἐκ τῆς ψυχῆς μου, καὶ σῇ αἴγλῃ με καταύγασον.

Ὠδὴ στ. Τὴν δέησιν ἐκχεῶ. Ἅγιοι τοῦ Θεοῦ.

Ἤθροισας, Κωνσταντῖνε Θεόφρον, ἐν Συνόδῳ τὸν χορὸν τῶν Πατέρων, καὶ δι' αὐτῶν τὰς καρδίας ἁπάντων, πίστεως θείας τοῖς νόμοις ἐστήριξας· ἀξίωσον οὖν καὶ ἡμᾶς τοῦ φυλάττειν τὴν πίστιν ἀμόλυντον. Ἅγιοι τοῦ Θεοῦ.

Νοῦν σου, θεόφρον, εἰς τὸν Πλάστην στηρίξας, τὸν τοῖς πᾶσι παρέχοντα τὸν βίον, εἰδωλικῆς καὶ ματαίου θρησκείας, ἀπεσκοράκισας ὅλως σεβάσματα· εὔχου δὲ καὶ ὑπὲρ ἡμῶν, ἀκλινεῖς ἐν τῇ Πίστει φυλάττεσθαι.

Ἄφθορον πολιτείαν, ποθοῦσα, τὴν θεόσδοτον ἠσπάσθης θρησκείαν τῷ Βασιλεῖ δὲ τῶν αἰώνων Ἑλένη, ὑποταχθεῖσα χορεύεις αἰώνια, πρεσβεύουσα ὑπὲρ ἡμῶν τῶν πιστῶς ἐκτελούντων τὴν μνήμην σου. Δόξα πατρί.

Νήχεται, Πανακήρατε Κόρη, ἡ πανάθλιος ψυχή μου κακίαις· διὸ λουτρῷ μετανοίας τελείας, καὶ τοῖς κρανοῖς τῶν δακρύων καθάρισον· καὶ σῶσον με τὸν δυστυχῆ ἐπὶ σὲ ἀδιστάκτως προστρέχοντα. Καὶ νῦν Θεοτοκίον.

Ἐκ θλίψεων καὶ ἐκ παντοίων κινδύνων καὶ νόσων, ἰσαπόστολε θεῖοι τοὺς ἡμᾶς πιστῶς, ῥύσασθαι, γεραίρωντας λιταῖς ὑμῶν, πρὸς Θεὸν τοῖς ἐνθέρμοις.

Ὁ ἱερεὺς μνημονεύει ὀνόματα ζώντων· εἶτα Κοντάκιον ἦχος γ'.

Κωνσταντῖνος σήμερον σὺν τῇ μητρὶ τῇ Ἑλένῃ, τὸν Σταυρὸν ἐμφαίνουσι τὸ πανσεβάσμιον ξύλον, πάντων μὲν τῶν Ἰουδαίων αἰσχύνην ὄντα, ὅπλον δὲ πιστῶν ἀνάκτων κατ' ἐναντίων· δι' ἡμᾶς γὰρ ἀνεδείχθη σημειεῖ μέγα καὶ ἐν πολέμοις φρικτόν. Καὶ εὐθὺς τὸ Προκείμενον, ἦχ. δ'. Ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου· ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν. στιχ. Ὑπέταξα λαοὺς ἡμῖν καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον. Τῷ καιρῷ ἐκείνῳ ἦλθεν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου κτλ. (ζήτει Ἰουνίου 29) δόξα ταῖς τῶν θεοστέπτων. Καὶ νῦν ταῖς τῆς Θεοτόκου. στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεὸς καὶ τὸ προσόμοιον ἦχ. πλ. β. Μεταβολὴ τῶν θλιβομένων.

Μεταβολὴ τῶν αἰχμαλώτων, ἀνόρθωσις τῶν πεπτωκότων ὑπάρχοντες, βασιλεῖς θεοφόροι, σώσατε Πόλιν καὶ Λαόν, τῶν πολεμουμένων οἱ προστάται, καὶ ἀνορθωταὶ τυραννουμένων, ταῖς θείαις ὑμῶν ἐντεύξεσι.

Τὸ σῶσον ὁ Θεός τὸν λαόν σου καὶ ἐλέει καὶ οἰκτιρμοῖς. Ὠδὴ ζ. Παῖδες ἑβραίων.
Ἄναξ τὸ κλέος ἀναδείχθης τῶν ἀνάκτων· σκηνώματα δι' Ἀγγέλων κατοικῶν,
τῶν πιστῶς ἡμῶν σε ἀνυμνούντων, τὸ κοσμικὸν κλιδώνιον, καταπράϋνον λιταῖς σου.
Κύριος στέφανον ὦ ἄναξ ἀπονέμει σοι γενναίως καθελόντι, τῶν εἰδώλων βομοὺς,
καὶ πάντας τοὺς ἀνθρώπους, εἰς πίστιν ὁδηγήσαντι, τὴν ὀρθὴν καὶ παναγίαν.
Τίς διηγήσεται Ἑλένη, οὓς ὑπέστης θεοφιλεῖς ἀγῶνας, ὑπὲρ πίστεως, ἣν ἠγά-
πησας θεόφρον· ἐν ταύτῃ οὖν στερέωσον σαῖς λιταῖς τοὺς σοὺς οἰκέτας. Θεοτοκ.
Ἄχραντε Κόρη, ἁμαρτάνων, καὶ δουλούμενος, ἀτόποις συνηθείαις τῇ σεπτῇ
σου ἀεὶ προστρέχω συμπαθείᾳ, ἀπηλπισμένον σῶσόν με, μητρικαῖς σου ἱκεσίαις.
Ὠδὴ η'. Τὸν Βασιλέα τῶν Οὐρανῶν. Ἅγιοι τοῦ Θεοῦ.
Σοὶ Κωνσταντῖνε, καταφεύγων ὁ τάλας, ἀνακούφισιν ἀπολαβεῖν ἐλπίζω, τῶν
καλῶν ὧν πάσχω, ταῖς θείαις σου πρεσβείαις. Ἅγιοι τοῦ Θεοῦ.
Γραπτοὺς τοὺς ὕμνους εὐλαβῶ σοι προσφέρων ἱκετεύων ὦ ἄναξ, ὅπως σώσῃς
ἐκ τῶν ἐνοχλούντων ἐχθρῶν με, σαῖς πρεσβείαις. Ἅγιοι τοῦ Θεοῦ.
Εὐσεβοφρόνως οἱ φιλέορτοι δεῦτε προσπελάσωμεν. Ἑλένῃ τῇ θείᾳ, ὅπως νο-
σημάτων ρυσθῶμεν καὶ κινδύνων. Καὶ νῦν Θεοτοκίον.
Ρανίδα στάξον θείας γνώσεως, Κόρη ἐκ τῶν ἄνω μοι ὡς τέξασα σοφίας,
χορηγὸν τὸν θεῖον, καὶ φώτισον τὸν νοῦν μου. Ὠδὴ δ. Κυρία Θεοτόκον.
Ἁγίως τὴν ζωήν σου τελέσας, Κωνσταντῖνε, σὺν τοῖς Ἀγγέλοις οἰκεῖν
καταξίωσαν, ὑπὲρ ἡμῶν ἱκετεύων τὸν παντοκράτορα. Ἅγιοι τοῦ Θεοῦ.
Ἰάματα παντοῖα βλύζει ἡ εἰκών σου, καὶ ἀπελαύνει τυράννων φρυάγματα,
ὦ Κωνσταντῖνε, διό σε πίστει γεραίρωμεν. Δόξα πατρί.
Ρῦσαι ἐκ κινδύνων πάντας, ὦ Ἑλένη, τούς μετὰ πίστεως σοι προστρέχοντας,
καὶ ἐκ τῶν νόσων ἀπάλλαξον, ταῖς πρεσβείαις σου. Καὶ νῦν.
Ὦ Θεοτόκε κόρη, πυρὸς αἰωνίου, τοὺς προσ υνῶντας τὸν τόκον σου λύτρωσαι·
Σὺ γὰρ ἡμῶν εἶ προστατης τῶν ἀνυμνούντων σε. Ἄξιον ἐστιν. Μεγαλυνάρ.
Τὸν μέγαν Κωνσταντῖνον σὺν τῇ μητρὶ Ἑλένῃ τῇ θείᾳ, τοὺς προστάτας τῶν εὐσε-
βῶν, καὶ ἀσείστους βάσεις τῆς εὐσεβοῦς θρησκείας, εὐφήμως κατ' ἀξίαν ἀνευφημήσωμεν
Δώρησαι, θεόστεπτε Βασιλεῦ, τοῖς μνήμην τελοῦσι τὴν ἁγίαν σου, σαῖς λιταῖς ἄφε-
σιν πταισμάτων καὶ τῶν δεινῶν τὴν λύσιν, ὡς ἔχων παρρησίαν πρὸς τὸν φιλάνθρωπον.
Ὀρφανῶν ὑπέρμαχον καὶ πτωχῶν, θησαυρόν σε μέγαν, ἀπορούντων τε φροντι-
στήν, αἰχμαλώτων ρύστην καὶ ταπεινῶν προστάτην, εἰδότες σε τιμῶμεν, ὦ ἰσα-
πόστολε. Πλήρης γενομένη ἁγιασμοῦ, Ἑλένη θεόφρον, ἰαμάτων βλύζεις κρου-
νοὺς, δι' ὧν ἀποπλύνεις δυσώδεις ἀσθενείας, τῶν σὲ ἀνευφημούντων ταῖς ἱκεσίαις σου.
Τὸν ἐγκεκρυμμένον ἐπὶ τῆς γῆς, οὐρανὸς δι' ἄστρων ἐκδηλοῖ σοι θεῖον Σταυρόν,
Ἑλένη μήτηρ, εὑροῦσα Κωνσταντῖνε, πιστῶν ἑδράζει κράτος, καὶ μέγα τρόπαιον.
Χαίροις Κωνσταντῖνε ὦ Βασιλεῦ, σὺν μητρὶ Ἑλένῃ, ἐμφανίσαντες τὸν Σταυρὸν,
σημεῖον τοῖς πᾶσι τῶν ἀνόμων βαρβάρων· ὑμᾶς τοὺς θεοστέπτους, ὅθεν γεραίρομεν.
Ὕψωσον τὸ κέρας χριστιανῶν, Κωνσταντῖνε θεῖε ἐκκλησίας ἡ καλλονὴ, τῆς δὲ
εὐσεβείας ὁ ἔνθερμος προστάτης, καὶ φίλαττε εὐχαῖς σου τοὺς ἀνυμνοῦντάς σε.
Τὸν τῆς εὐσεβείας θεῖον πυρσὸν, καὶ τῆς Ἐκκλησίας τὸν ἀκήρατον στολισμὸν,
τὴν ἄσειστον βάσιν τῆς ἀληθοῦς λατρείας, τὸν μέγαν Κωνσταντῖνον ὕμνοις τι-
μήσωμεν. Ὑπὸ Ἰωσὴφ μοναχοῦ.
Πάντες σε τιμῶμεν χρεοστικῶς, θεῖε Κωνσταντῖνε, ὡς ἀνάκτων θεοσεβῶν, πρῶτον



καὶ κρηπῖδα τῆς Πίστεως τῆς θείας, σὺν τῇ μητρὶ Ἑλένῃ ὕμνοις γεραίραντες. Θεοτ.
Ἴλεως γενοῦ μοι τῷ ταπεινῷ ὅτι πλήν σου ἄλλην οὐ γινώσκω καταφυγὴν, ὁ
ἐν ἁμαρτίαις παντοίαις πεπλησμένος· ἐλέησόν με μόνη χριστιανῶν ἡ ἐλπίς.

Τρισάγιον καὶ τὸ τροπάριον ἦχος γ'.

Πρῶτος πέφηνας ἐν Βασιλεῦσι, θεῖον ἔδρασμα τῆς εὐσεβείας, καὶ τὴν ὀρθόδοξον
πίστιν, τῷ κόσμῳ, ἐφήπλωσας, τοῦ γὰρ Χριστοῦ τὸν Σταυρὸν σὺ ἐφανέρωσας, τὸν ἐν
τῷ βάθει τῆς γῆς φθόνῳ ἑβραίων κρυπτόμενος· Κωνσταντῖνε ἰσαπόστολε σὺν μη-
τρὶ Ἑλένῃ θεόφρονι, πρεσβεύσατε Χριστῷ, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.
Ὁ ἱερεὺς μνημονεύει. Ἀπόλυσις καὶ τὸ προσόμ. ἦχ. β. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.
Δεῦτε ἀνυμνήσωμεν Πιστοὶ, τούς τῶν εὐσεβῶν βασιλέων προστάτας, δεῦτε φαι-
δρῶς τούτους εὐφημήσωμεν, ἀναβοῶντες αὐτοῖς· Κωνσταντῖνε θεόστεπτε, θεόφρον
Ἑλένη, παύσατε δεόμεθα κακῶν τὴν πρόοδον, θλίψεων πραΰνατε σάλου, καὶ τοῖς
αἰχμαλώτοις τὴν ρῦσιν, ταῖς λιταῖς ἡμῶν νῦν χορηγήσατε. Μεγαλ. Κυρ. τῆς Πεντ.
Εἰς τὸ ὑπερῷον τοῖς Μαθηταῖς, ἐν πυρίναις γλώσσαις, ἐξαπέστειλεν ὁ Πατήρ, τὸ
θεῖον αὐτοῖς Πνεῦμα, ὅπως αὐτοὺς φωτίσῃ, τοῖς ἔθνεσι κηρύξαι τὸ Εὐαγγέλιον.

Τῆς Ἀναλήψεως.

Ἄρακτος κόσμος καὶ ὁρατὸς, ἅπας ἑορτάζει, καὶ οἱ ἄγγελοι σὺν βρωτοῖς,
σκιρτῶντες ὑμνοῦσιν ἐν φωναῖς ἀσιγήτοις τὴν ἄνοδόν σου σῶτερ καὶ τὴν Ἀνάστασιν
Ἐρανίσθημεν τὴν παράκλησιν μετὰ μεγαλυναρίων ἐκ τῆς βίβλου. Πνευματι-
κὸς Κῆπος. σελ. 150. Οἶκοι χαρμόσυνοι, τῶν ἁγίων ἐνδόξων θεοστέπτων καὶ
ἰσαποστόλων βασιλέων Κωνσταντίνου καὶ Ἑλένης. Κοντάκ. ἦχ. πλ. δ. Τῇ ὑπερμάχῳ.
Τῶν χριστονύμων, ἡ πληθὺς δεῦτε συνέλθετε, χαρμονικοῖς ἐν μελωδήμασι γε-
ραίρωντες, Κωνσταντῖνον καὶ Ἑλένην τοὺς θεοστέπτους· τοὺς τὴν πίστιν τοῦ
Χριστοῦ τρανῶς κηρύξαντας, καὶ τὸν τίμιον Σταυρὸν ἀνακαλύψαντες τούτοις
κράζωντες· Χαίρεται παναοίδιμοι. Ἄνοιξόν μου τὸ στόμα, Ἰησοῦ ὁ Θεός μου,
ὑμνεῖσαι Κωνσταντῖνον τὸν μέγαν (ἐκ γ'.) χρυστωνύμων πάντων τὴν χαράν, καὶ
τῆς πίστεως λαμπρότατον κήρυκα, καὶ τράνωσον τὴν γλῶσσάν μου, βοῆσαι πρὸς
αὐτὸν τοιαῦτα. Χαῖρε θεῷ ὁ προωρισμένος, χαῖρε αὐτῷ καθιερωμένος· χαῖρε βα-
σιλέων φυλῆς καταγόμενος, χαῖρε ὁ σοφίαν καὶ σύνεσιν κτώμενος, χαῖρε ὅτι
ἔργῳ ἔδειξας τοῦ Θεοῦ προορισμόν, χαῖρε ὅτι σὺ ἀπέφυγες ἀπιστίας σκοτασμόν.
Χαῖρε ὁ οὐρανόθεν προσκληθεὶς ἐν τῇ πίστει, χαῖρε ὑπὸ Σιλβέστρου βαπτισθεὶς
ἐν τῇ Ρώμῃ, χαῖρε χαρὰ τῶν πιστῶν καὶ σέμνωμα, χαῖρε φθορὰ ἀπίστων καὶ
θρήνημα, χαῖρε δι' ὃν Ἱερεῖς ἐγκαυχῶνται, χαῖρε δι' οὗ βασιλεῖς στεφανοῦνται.
Χαίροις ἄναξ ἀοίδιμε.

Βλέπων λυμαινομένους, τοῦ Χριστοῦ τὴν ἀγέλην, Μαξέντιον τε καὶ Μαξιμῖ-
νον· θαρρήσας Κωνσταντῖνε θεῷ, καὶ Σταυροῦ τῇ πανοπλίᾳ φραξάμενος τυράν-
νους ἄρδην ὤλεσας καὶ ἀνεβόας τῷ Κυρίῳ. Ἀλληλούϊα,
Γνώμην θείαν πλουτοῦσα, μακαρία Ἑλένη, προσῆλθες ἐν τῇ πίστει Κυρίου·
καὶ σὸν γόνον τὸν σεπτὸν συνεργόν, Κωνσταντῖνον τὸν ἀείμνηστον ἔχουσα, χα-
ρᾶς ἀπείρου ἔπλησας, τὴν οἰκουμένην σοι βοῶσαν. Χαῖρε ἡ βάσις τῆς εὐσε-
βείας, χαῖρε ἡ δόξα τῆς Ἐκκλησίας, χαῖρε χριστωνύμων ἁπάντων τὸ καύ-
χημα, χαῖρε βασιλίδων πασῶν ἐγκαλώπισμα· χαῖρε σὺ γὰρ ἡμῖν δέδωκας τοῦ
Κυρίου τὸν Σταυρόν, χαῖρε σὺ γὰρ ἐκ γῆς ἤστραψας τρόπαιον τὸ θαυμαστόν.

μάκαρ· τὸ ξύλον τοῦ Σταυροῦ διὰ σοῦ, καὶ τὸν τάφον φανεροῖ τὸν ζωήρρυττον, ὃν προσκυνοῦντες ἅπαντες, ἀναβοῶμεν ἀσιγήτως. 'Αλληλούϊα.

Τάγματα τῶν ἀγγέλων, προφητῶν ἀποστόλων, Μαρτύρων καὶ ἁγίων ἁπάντων, ὑπεδέξαντό σε ἐν χαρᾷ, ἀπὸ γῆς πρὸς τὸν οὐρανὸν βαίνουσαν μεθ'ὧν Ἑλένη πρέσβευε, ὅπως σωθῶμεν οἱ βοῶντες. Χαῖρε πρὸς Κύριον μεταστᾶσα, χαῖρε αὐτῷ ἀεὶ παρεστῶσα, χαῖρε Προφητῶν ἐν μοναῖς προσφοιτήσασα, χαῖρε 'Αποστόλων σκηναῖς κατοικήσασα, χαῖρε ἐν τῷ κλήρῳ πέλουσα τῶν ἁγίων ἐν φωτί, χαῖρε ἐν χαρᾷ ἡ πρεσβεύουσα τῇ Τριάδι τῇ σεπτῇ, χαῖρε θαυματουργίας χάριν κοσμησαμένη, χαῖρε τοῖς σὲ καλοῦσιν ἅμα παρισταμένη, χαῖρε σὲ γὰρ προστάτην κεκτήμεθα, χαῖρε σὲ γὰρ φρουρὸν προβαλλόμεθα, χαῖρε δεινὸν ἐκ θανάτου λυτροῦσα, χαῖρε ἡμᾶς ἐν τῇ κτίσει φρουροῦσα· Χαίροις Ἄνασσα πάντιμε. Ὕμνοις ἐξ ὕμνων πάντες, πρὸς τὸν Κτίστην χοροῦσαν, προέπεμπον ἐκ γῆς μακαρία· Πατριάρχαι ἱερεῖς κριταί, σὺν τῷ θεοστέπτῳ σου βλαστῷ Δέσποινα, ἐν φόβῳ λιτανεύοντες καὶ μελῳδοῦντες τῷ Κυρίῳ ἀλληλούϊα. Φωτόδοτον λαμπάδα, οἷα παντὶ τῷ κόσμῳ, τὸ φῶς τῆς εὐσεβείας ἁπλοῦσαν, τὴν ἁγίαν μνήμην σου ἡμεῖς Κωνσταντῖνε χριστοφόρε γεραίρωμεν· ἐν ᾗ ἡμῶν μνημόνευε τῶν σὲ φιλούντων καὶ βοώντων. Χαῖρε τοῦ κόσμου τὸ φῶς τὸ θεῖον, χαῖρε γῆς ἅλας πάντας ἡδύνον, χαῖρε τῷ ἀδύτῳ φωτὶ παριστάμενος, χαῖρε τῆς Τριάδος τῇ αἴγλῃ τερπόμενος, χαῖρε ἄπλετον κεκτημένος πρὸς Θεὸν παρρησίαν, χαῖρε οἷα φίλος γνήσιος παρεστὼς πρὸς τὸν Χριστόν, χαῖρε θαυμάτων χάριν ἐκ Θεοῦ ὁ πλουτίσας, χαῖρε κρήνην χαρίτων τὴν σὴν λάρυκα δείξας, χαῖρε δι'οὗ τῷ Θεῷ οἰκειούμεθα, χαῖρε παρ'οὗ δεινῶν ἐκλυτρούμεθα, χαῖρε φρουρῶν καὶ ἐν ὥρᾳ θανάτου, χαῖρε λυτρῶν κρίσεως ἀδεκάστου. χαίροις ἄναξ ἀοίδιμε. Χαίρων μετέστης μάκαρ, πρὸς Χριστὸν Κωνσταντῖνε, τοῦ βίου ἐκχορῶν ἐν εἰρήνῃ· λάρνακι μὲν τὸ σῶμα λιπὼν ἐν χερσὶ δὲ Θεοῦ τὴν ψυχὴν θέμενος, τὴν θείαν καὶ ὁλόφωτον μετὰ ἀγγέλων ἀναμέλπων. 'Αλληλούϊα. Ψάλλων Δαβὶδ ὁ μέγας εὐφροσύνην προλέγει, τὴν σὴν ὦ θαυμασία Ἑλένη· μητέρα ἐπὶ τέκνῳ ἀεί, εὐφραινομένην διηνεκῶς, ἔφησε· καὶ νῦν ἡμεῖς οἱ δοῦλοι σου, ἐν εὐφροσύνῃ σου βοῶμεν· Χαῖρε Θεῷ ἡ νῦν παρεστῶσα, χαῖρε ἡ δόξης αὐτοῦ τρυφῶσα, χαῖρε τῇ Μητρὶ τοῦ Θεοῦ συνυπάρχουσα, χαῖρε τῷ υἱῷ σου ἀεὶ νῦν συγχαίρουσα· Χαῖρε δόξης ἀπολαύουσα καὶ ἀγάπης τοῦ Χριστοῦ, χαῖρε ἡ συμβασιλεύουσα εἰς αἰῶνας μετ'αὐτοῦ χαῖρε παντὸς τοῦ κόσμου, ἡ κοινὴ μεσίτεια, χαῖρε τῶν σὲ τιμώντων ἡ θερμὴ προστασία, χαῖρε ἐλπὶς ἡμῶν καὶ βοήθεια, χαῖρε ἰσχὺς ὁμοῦ καὶ κραταίωμα, χαῖρε ναοῦ τοῦ κλεινοῦ σου προστάτις, χαῖρε ἡμῶν τῶν τιμώντων σε ρύστης, χαίροις Ἄνασσα πάντιμε. Ὢ ξυνωρὶς ἁγία, Κωνσταντῖνε Ἑλένη, ἀνάκτων χριστονύμων τὸ κλέος· (ἐκ γ') δεξαμένη τὸν πόθον ἡμῶν οἰκειωθῆναι ἡμᾶς Θεῷ πρέσβευε συνωνυμοῦντας φύλαττε, καὶ πάντας τοὺς πιστῶς βοῶντας· 'Αλληλούϊα. Κοντάκιον, ἦχος πλ. δ'.

Τῶν χριστονύμων ἡ πληθὺς δεῦτε συνέλθετε, χαρμονικοῖς ἐν μελῳδήμασι γεραίροντες, Κωνσταντῖνον καὶ Ἑλένην τοὺς θεοστέπτους, τοὺς καὶ πίστιν τοῦ Χριστοῦ τρανῶς κηρύξαντες, καὶ τὸν τίμιον Σταυρὸν ἀποκαλύψαντας, τούτοις κράζοντες, χαίρετε πανaοίδιμοι.

('Ερανίσθημεν τοὺς χαιρετισμοὺς τῶν 'Αγίων ἀπὸ τὸν συναξαριστὴν Σαρδόνυξ σ.3,90 καὶ 94 Γ.Βουτέρη. Μεγαλ. διαφόρων ἁγίων 'Αγ.Στεφάνου 27 Δεκ 2 Αὐγ.



Πρῶτον τὸ ποτήριον ἔπιες, ὁ πιὼν μετέδῳ, ὁ θεάνθρωπος μιμηταῖς, ὃν ἄθλων ἐν λίθοις, ἐν δεξιᾷ πατρῴα, βλέπεις μινιοντά σοι τὰ ἆθλα Στέφανε.

'Αγ. Δημητρίου 26 'Οκτωβρίου.

Τὸν μέγαν ὁπλίτην καὶ ἀθλητήν, τὸν στεφανηφόρον, καὶ ἐν Μάρτυσι θαυμαστόν, τὸν Λόγχῃ τρωθέντα, πλευρὰν ὡς ὁ Δεσπότης Δημήτριον τὸν θεῖον ὕμνοις τιμήσωμεν.

Θεοδώρου τοῦ Στρατηλάτου 8 Φεβρουαρίου.

Ψάλλοντα ὡς εὗρόν σε 'Αθλητά, οἱ νεκρὸν δοκοῦντες ἐξ ἑλκύσεων καὶ πληγῶν, τῷ ἰασαμένῳ ἐπίστευσαν Κυρίῳ σὺν σοὶ τιμηθέντες ξίφει μάκαρ Θεόδωρε.

Θεοδώρου τοῦ τήρανος 17 Φεβρουαρ. Α. Σάββατον τῶν Νηστειῶν.

Σῶν αἱμάτων ρεύμασιν ἱερῶν, ἀθλητὰ γενναῖε, πλάνης ἔσβεσαν τὸν φλογμόν· ἔβλυσας δὲ ρεῖθρα, σοφὲ τῶν ἰαμάτων, τοὺς χρῄζοντας ἀρδεύων Μάρτυς Θεόδωρε.

'Αγ. Εὐσταθίου 20 7βρίου' 'Εκ τοῦ Λειτουργικοῦ.

Τὸν ἐν 'Αθλοφόροις θαυματουργόν, καὶ τὸν ἐν ἀνάγκαις, ἀπροσμάχητον βοηθὸν τὸν θεῖον ὁπλίτην καὶ μάρτυρα Κυρίου, Εὐστάθιον τὸν μέγαν πάντες τιμήσωμεν.

Μηνᾶ Βίκτωρος καὶ Βικεντίου (11 Νοεμβρ.)

Θαυμασίων πάντων σε ὁ Χριστός, ἀνέδειξε μάρτυς καὶ τεράτων ὑπερφυῶν αὐτουργόν, διό σε τοὺς πόθῳ τιμῶντας παντὸς κινδύνου σῶζε, Μηνᾶ πανένδοξε.

'Αγ. Προκοπίου (8 'Ιουλίου).

Ξόανα χλευάσας εἰδωλικά, τὸν Χριστὸν κηρύξας, θεὸν εἶναι ἀληθινόν, χαλεπὰς κολάσεις, ὑπήνεγκας καὶ καύσεις, λαβὼν τοῦ μαρτυρίου, στέφος Προκόπιε.

'Αγ. Αἰμιλιανοῦ (18 'Ιουλίου).

Δεῦτε εὐφημήσωμεν οἱ πιστοὶ τὸν θερμὸν προστάτην, Δοροστόλου τὸν βοηθόν, Αἰμιλιανὸν τὸν θεῖον, ὑπέρμαχον φωστῆρα, πρεσβεύει τῷ Κυρίῳ, εἰς τὸ σωθῆνε ἡμᾶς.

'Αγ. Παντελεήμονος (27 'Ιουλίου)

Ρεῖθρα ἰαμάτων ὡς ἐκ πηγῆς χάριτι θαυμάτων, βρύει χρῄζουσι δωρεάν, ὁ Παντελεήμων ὁ πάνσοφος 'Ακέστωρ, οἱ ρώσεως διψῶντες, δεῦτε ἀρύσασθαι.

'Αγ. Μακκαβαίων (1 Αὐγούστου).

Τοὺς ἐν 'Αθλοφόροις θαυματουργούς, καὶ τοὺς ἐν ἀνάγκαις ἀντιλήπτορας ταχινοὺς τοὺς θείους ὁπλίτας, καὶ μάρτυρας Κυρίου, ἐνδόξους Μακκαβαίους πάντεςτιμήσωμεν.

'Αγ. Αἰκατερίνης (25 Νοεμβρ.)

Τῆς ψυχῆς ἐδήλου τὴν καλλονήν, σώματος τὸ κάλλος· ἡ σοφία ἡ ἔξω δέ, ἀληθῆ σοφίαν, ἣν ἔλαβες θεόθεν, σεπτὴ Αἰκατερίνα, Μάρτυς πολύαθλε.

'Αγ. Παρασκευῆς (26 'Ιουλίου).

Λέβητος ραντίσματι φλογερῷ σβέσασα τὰς κόρας, τοῦ τυράννου παρασκευῇ, πρὸς λοῦτρον δυσῶδες, βαπτίσματος ἐκπέμπεις, φωτισαμένη κόρας ψυχῆς καὶ σώματος.

'Αγ. Βαρβάρας (4 Δεκεμβρ.).

Εἰς ὃς ἐνομίζετο σὸς πατήρ, σὲ χερσὶν ἀνεῖλε, ὁ ἀντίθεος μιαραῖς· ὃν πατέρα ἔσχες ἀληθινὸν Χριστόν σου, ἔχεις καὶ νῦν ἐν πόλῳ, Βαρβάρα στέφοντα.

Κυριακὴ τῶν Βαΐων Πνευματικὸς Κῆπος

ΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Βαΐα καὶ κλάδους βαστάζοντες, τοῦ πατρὸς τὸν λόγον μεγαλύνωμεν οἱ πιστοί, βοῶντες ἐν ὕμνοις, ὡς οἱ ἄκακοι παῖδες, εὐλογημένος εἶ ὁ ἐρχόμενος. Κυρ. τοῦ Θωμᾶ.

Ἐπέστης Ἰησοῦ ἡ ζωὴ ἡμῶν θυρῶν κεκλεισμένων, τοὺς ἁγίους σου Μαθητάς, καὶ τῷ Θωμᾷ ἐβόας, δεῦρο ψηλάφισον με, καὶ κήρυξον τῷ κόσμῳ, τὴν ἐκ τάφου μου ἔγερσιν.

Εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ.

Ἰδοὺ νῦν τὸ ἄστρον ἐξ Ἰακὼβ, ἀνέτειλε κόσμῳ τοῦ Θεοῦ ὁ μονογενής, λόγος καὶ φωτίζει ἀνθρώπων πᾶν τὸ γένος, Χριστὸς ὁ Ζωοδό της ὃν μεγαλύνωμεν.

Εἰς τὰ Εἰσόδια τῆς Θεοτόκου.

Δεῦτε εὐφημήσωμεν εὐσεβῶς, τὴν ἄμωμον Κόρην, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν, τὴν προσαγομένην ἐν τῷ ναῷ Κυρίου, αὐτῷ ἑτοιμασθῆναι, εἰς οἰκητήριον.

Ἁγ. Κυριακῆς (7 Ἰουλίου).

Ἔχοντες ναόν σου τὸν ἱερόν, Κυριακὴ ἀθληφόρε, ὡς προπύργιον ὀχυρόν, προσφεύγομεν ἐν τούτῳ, καιρῷ τῷ τῆς ἀνάγκης, καὶ ἐπηρείας πάσης, αὐτῷ λυτρούμεθα.

Ἁγ. Πελαγίας (4 Μαΐου)

Τὴν Μεγαλομάρτυρα τοῦ Χριστοῦ, καὶ τὴν ἐν ἀνάγκαις, ἀπροσμάχητον βοηθόν, τὴν νύμφην Κυρίου, καὶ ἄσπιλον ἀμνάδα, τὴν θείαν Πελαγίαν, πάντες τιμήσωμεν.

Ἁγ. Εἰρήνης (5 Μαΐου)

Ἔχοντες ναόν σου τὸν ἱερόν, ὦ παρθενομάρτυς Εἰρήνη, ὡς κειμήλιον ὀχυρόν, προσφεύγομεν ἐν πίστει, καιρῷ τῷ τῆς ἀνάγκης, καὶ ἐπηρείας πάσης αὐτῷ λυτρούμεθα.

Ἁγ. Μαρκέλλης (22 Ἰουλίου)

Χαίροις νύμφη ἄσπιλε τοῦ Χριστοῦ, ἔνδοξε Μαρκέλα, καλλιμάρτυς νεοφανής, βλάστημα τῆς Χίου καὶ δόξα καὶ προστάτης, πάντων παθῶν ἀπάλλαξον τοὺς τιμῶντας σε

Ἁγ. Εὐφημίου (Ἰουλίου 11 Σεπτ. 16)

Χαίροις Εὐφημίας πανευκλεής, χαίροις ὀρθοδόξων ἀπροσμάχητος βοηθός, χαίροις τῶν πατέρων, στηρίξασα τοὺς ὅρους, καὶ τὴν φλόγα τὴν τῆς αἱρέσεως σβέσασα.

Ἁγ. Διονυσίου Ἀρχ. Αἰγίνης (17 Δεκεμ.)

Χαίροις τελασφόρε θεῖε φωστήρ, δρωτίσου στίλβων, τὸν ὁρίζοντα εὐσεβῶν· χαίροις ὁ σοὺς Σκήνους θαύμασι κατακαρδεύων, τὴν ἐκκλησίαν πᾶσαν ὦ Διονύσιε. (Ἐκ διαφόρων Ἀκολουθιῶν).

Διάταξις

Ἐπειδὴ συμπίπτει ἡ Ἑορτὴ τοῦ Ἁγίου Κωνσταντίνου ἐν ἡμέραις Τετάρτης ἢ Παρασκευῆς καὶ οἱ Χριστιανοὶ ἀδιαφοροῦν περὶ τῆς Νηστείας κρίνω καλὸν νὰ φέρω τοὺς Κανόνας τῶν Ἀποστόλων καὶ τὴν Α. Σύνοδον τῶν Πατέρων, ὅτι μόνον ἔλαιον καὶ οἶνον καταλύεται εἰς ὅλας τὰς ἡμέρας καὶ μνήμας τῶν Ἁγίων, εἰμὴ μόνον τὴν Τετάρτην τῆς Μεσοπεντηκοστῆς, καὶ τὴν Ἀπόδοσιν τῆς Ἀναστάσεως εἰς ἰχθύας, καὶ τὴν Διακαινίσιμον ἑβδομάδα καθὼς καὶ τῆς Πεντηκοστῆς εἰς πάντα, εἶ δὲ παραβαίνοντες τὰς Ἀποστολικὰς διατάξεις αὐστηρῶς μέλλουσα θὰ τιμωρηθοῦν, διατάσσει καὶ τὸ Πεντηκοστάριον ὅτι πρῶτον ἐσταυρώθη ὁ Κύριος καὶ ἔπειτα ἀνεστήθη καὶ προηγοῦνται τὰ Σταυρώσιμα ἐν Τετάρτῃ καὶ Παρ. (ὅρα πηδάλ. σελ. 638)

Μεγαλυνάρια εἰς τὴν Ἀνάληψιν τοῦ Χριστοῦ. Ἦχος πλ. α΄. Ἡ ζωὴ ἐν τάφῳ.

Μεγαλύνωμέν σε Ἰησοῦ Βασιλεῦ, καὶ τιμῶμεν τὴν σεπτήν σου Ἀνάληψιν, δι' ἧς ἔσωσας ἡμᾶς εἰς οὐρανούς.

Μεγαλύνωμέν σε ζωοδότα Χριστέ, ἣν προσείληφας γὰρ φύσιν ἀνθρώπειον, συνεδόξασας εἰς ὕψος ἀναβάς.



Μεγαλύνωμέν σε τὸν Σωτῆρα ἡμῶν, τὸν τὴν ἡμετέραν φύσιν θεώσαντα, τῇ ἐνδόξῳ σου ἀναλήψει σου Χριστέ.

Μεγαλύνωμέν σε Ἰησοῦ ὁ Θεός, καὶ δεόμεθά σου εὔσπλαγχνε Κύριε, ἀεὶ ἔσο ὡς ὑπέσχου, μεθ' ἡμῶν.

Τὰ σεπτά σου πάθη, προσκυνοῦμεν Χριστέ, καὶ τιμῶμεν τὴν ἐκ τάφου ἐξέγερσιν, καὶ τὴν ἄνοδον ἐκ γῆς εἰς οὐρανούς.

Μεγαλύνωμέν σε Θεοτόκε ἁγνή, καὶ τῷ τόκῳ βροτῶν φύσις τεθέωσας καὶ ἀνῆλθες ἀπὸ γῆς εἰς οὐρανόν.

Ἕτερα εἰς τὴν αὐτὴν ἑορτήν, ἦχος δ.

Ἄγγελοι τὴν ἄνοδον τοῦ Δεσπότου, ὁρῶντες ἐξεπλήττοντο, πῶς μετὰ δόξης ἐπήρθη ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

Ἄγγελοι καὶ ἄνθρωποι προσκυνοῦμεν τὴν θεοθεῖσαν σάρκα σου, ἥν περ ἀνείληφας Σῶτερ ἐν ἀσυγχύτῳ ἑνώσει.

Δόξα πατρί.

Ἄγγελοι τὸν ἕνα σε τῆς Τριάδος, ὁρῶντε μετὰ σώματος, εἰς Οὐρανοὺς ἀνελθόντα χαρμονικῶς προσεκύνουν.

Καὶ νῦν.

Ἄγγελοι καὶ ἄνθρωποι τὴν Μητέρα Θεοῦ δοξολογοῦμεν σε· διό γαρ σου ἐν τῷ κόσμῳ χαρὰ ἐπέλαμψε Κόρη.

Μεγαλ. εἰς τὴν ἁγίαν Πεντηκοστήν, ἦχ. βαρύς.

Ἀπόστολοι τὴν χάριν τοῦ Παρακλήτου, ὁρῶντες ἐξεπλήττοντο, ἑτέραις γλώσσαις λαλοῦντες, καθὼς τὸ Πνεῦμα ἐδίδου.

Ἀπόστολοι τὴν χάριν τοῦ Παρακλήτου, λαβόντες ἐσοφίσθησαν, καὶ ξέναις γλώσσαις ἐλάλουν τὰ τοῦ Θεοῦ μεγαλεῖα.

Ἀπόστολοι τὸ Πνεῦμα πυρίναις γλώσσαις, λαβόντες γῆς τὰ πέρατα, ὡς ἀστραπὰς φωτὸς θείου, ἐνέπλησαν παραδόξως.

Ἀπόστολοι μητέρα καὶ Παρθένον, τρανῶς σὲ ἀνεκήρυξαν ἡμεῖς δὲ παρθενομήτωρ κηρύττωμεν Θεοτόκον.

Ἕτερα εἰς τὴν ἁγίαν Πεντηκοστήν, ἦχ. δ΄.

Ἄγγελοι καὶ ἄνθρωποι ἀνυμνοῦμεν, τρισὲν ἐν ὑποστάσεσιν, ἕνα Θεὸν ὁμοφώνως, Πατέρα Υἱὸν καὶ Πνεῦμα.

Ἄγγελοι καὶ ἄνθρωποι μελῳδοῦντες, τὸν ὕμνον τὸν Τρισάγιον, ὦ Τρισαγία θεότης, ὑμνοῦμέν σε γηθοσύνως.

Δόξα πατρί.

Πάτερ ἀγέννητος τῇ οὐσίᾳ, Υἱὲ γεννητέ, Πατρὶ συνάναρχε, καὶ τὸ πανάγιον Πνεῦμα, σῶσον ἡμᾶς τοὺς σοὺς δούλους.

Καὶ νῦν.

Παράκλητε τὸ Πνεῦμα τῆς ἀληθείας ἐλθὲ καὶ ἡμῖν σκήνωσον, καὶ ἀπὸ πάσης κηλῖδος ψυχῆς καθάρισον πάντας.

Ἰανουαρίου 30

Τῶν τριῶν ἱεραρχῶν. Καὶ ἡ Ἀνάμνησις τοῦ γενομένου θαύματος ἐν Ζακύνθῳ παρὰ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, ἐν τῇ τοῦ Λοιμοῦ ἀπαλλαγῆς.

Ἀπολ. Τοῦ ἁγίου. Ὡς τῶν αἰχμαλώτων, Κοντάκ. ἦχ. δ΄. Ἐπεφάνης σήμερον.

Εὐχαρίστως ἅπασα νῆσος Ζακύνθου, τὴν παρθένον Δέσποιναν, σὺν Γεωργίῳ τῷ λαμπρῷ, ὡς εὐεργέτας δοξάσωμεν, ἡμᾶς φυλάττειν ἀεὶ ἱκετεύοντες.

Ἀπριλίου 24. Τῆς ὁσίας μητρὸς ἡμῶν Ἐλισάβετ, τῆς θαυματουργοῦ. Σάββα τοῦ Στρατηλάτου μάρτυρος, Πασικράτους καὶ Βαλεντίωνος, Εὐσεβίου Νέωνος Λεωντίου Λογγίνου τῶν μαρτύρων, Δοῦκα τοῦ Μυτιληναίου νεομάρτυρος, Νικολάου τοῦ ἐν Μαγνησίᾳ νεομάρτυρος, Σάββα τοῦ ἐν τῷ σπηλαίῳ Ρώσσου καὶ 70 στρατιῶται ξίφει τελειοῦνται καὶ 4 Μαρτύρων, διὰ τοῦ ἁγίου Γεωργίου πιστευσάντων τελειοῦνται.

Ἀπολ. ἁγίου Σάββα. Ἦχ. πλ. α΄. Τὸν συνάναρχον λόγον.

Μετανοίας τοῖς δάκρυσι προεκάθηρσι, εἶτα στίγμασι μάκαρ τοῦ μαρτυρίου σαυ-

ΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τόν, ὡς ἐν ἀκτῖσι φαειναῖς κατελάμπρυνας· ὅθεν ὡς μάρτυρα, στερρόν, καὶ παθημάτων κοινωνόν, Χριστοῦ τοῦ Θεοῦ ἐν ὕμνοις Σάββα στερρὲ ἀθλοφόρε, σὲ εὐφημοῦντες μεγαλύνωμεν. Κοντάκ. ἦχος γ. Ἡ Παρθένος σήμερον.

Τὴν σεπτήν σου ἄθλησιν ὡς μαρτυρίου ἡμέραν, ἐνοοῦντες χαίρωμεν, καὶ σὲ γεραίρωμεν πόθῳ· ἔλαβες γὰρ ἐν ταύτῃ τὸ δι' αἱμάτων, βάπτισμα ὁ οὐ μολύνεται ρύποις ἐν δευτέροις δι' οὗ ὅλως Σάββα ἀνῆλθες εἰς τὰ οὐράνια.

---

## ΒΙΟΣ ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ ΜΕΓΑΛΩΝ ΒΑΣΙΛΕΩΝ ΚΑΙ ΙΣΑΠΟΣΤΟΛΩΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΚΑΙ ΕΛΕΝΗΣ

Ἐπὶ τῶν βασιλέων Διοκλητιανοῦ, Μαξιμιανοῦ Ἑρκουλίου, καὶ Μαξιμιανοῦ Γαλερίου, πολὺν διωγμὸν ὑπέστη ἡ ὀρθόδοξος ἡμῶν Ἐκκλησία, κατὰ χιλιάδας φονευομένων τῶν χριστιανῶν ὑπὸ τῶν ἀπίστων. Εἰς τὰ μέρη τῆς Βρεττανίας. ἦτο εἷς Καῖσαρ, Κώνστας ὀνόματι, ὅστις Χλωρὸς ἐπωνομάζετο διὰ τὸ χλωμὸν αὐτοῦ πρόσωπον· σύζυγον εἶχε πρότερον μίαν εὐγενεστάτην καὶ σεμνοτάτην Ἑλένην ὀνόματι, ἥτις ἦτο ἐγγόνη τοῦ Βασιλέως Κλαυδίου, γεννηθεῖσα εἰς μίαν πόλιν τῆς Δανίας, καλουμένην ἐξ αὐτῆς Ἑλεοννόπολιν, ὕστερον δὲ ἠναγκάσθη οὗτος ὁ Κώνστας ὑπὸ τοῦ Διοκλητιανοῦ νὰ ἀφήσῃ τὴν Ἑλένην καὶ ἀντ' αὐτῆς νὰ λάβῃ τὴν θυγατέρα τοῦ γαμβροῦ του Μαξιμιανοῦ, καὶ ἔκαμε τοῦτο ὁ Διοκλητιανὸς διὰ τὸν φόβον μήπως τοῦ κηρύξει ποτὲ πόλεμον ὡς ξένος ὅπου ἦτο. Εἶχε δὲ ἕνα υἱὸν ὁ Κώνστας ὁ Χλωρὸς ἐκ τῆς Ἑλένης, Κωνσταντῖνον ὀνόματι, τὸν ὁποῖον ἐκράτουν οἱ βασιλεῖς μεθ' ἑαυτῶν ὡς ἐγγύησιν οὕτως εἰπεῖν μεταξὺ αὐτῶν καὶ τοῦ πατρός του εἰρήνης. Οὗτος ὁ νέος Κωνσταντῖνος ἂν καὶ συναναστρέφετο μετὰ τῶν ἀσεβῶν τυράννων οὐχ ἧττον ὅμως τὰ ἀγαθὰ αὐτοῦ ἤθη δὲν διεφθάρησαν, ἐν τούτοις δὲ ἦτο καὶ μισοπόνηρος. Κατὰ τὸ σῶμα ἦτο ὑψηλὸς καὶ εὔμορφος καὶ ἰσχὺν δὲ σωματικὴν εἶχε. Ταῦτα βλέποντες οἱ τύραννοι καὶ φοβούμενοι διὰ τὸ μέλλον, μάλιστα δὲ ἀφ' οὗ ἔμαθον καὶ παρὰ τοῦ μαντείου τοῦ θεοῦ των Ἀπόλλωνος ὅτι μέλλει νὰ κατασταθῇ μέγας, κηρύττων τὸν Χριστὸν Θεὸν ἀληθινόν, τοὺς δὲ Ἑλληνικοὺς θεοὺς καταφρονῶν, ἐμελέτησαν τὴν καταστροφήν του ἐπιδεξίως καὶ ἀποκρύφως· ἀλλ' ὁ Πανάγαθος Θεός, ὃς εἶχεν αὐτὸν προωρισμένον διὰ τὴν ἀνύψωσιν τοῦ καταδιωκομένου Χριστιανισμοῦ, τὸν προεφύλαξεν ἀπὸ τὰς διαβολικὰς αὐτῶν πανουργίας, τοὺς ὁποίους καὶ μετ' ὀλίγον ὡς κακούς, κακῶς ἐξωλόθρευσεν. Ἔμεινε λοιπὸν εἰς τὴν Ρώμην βασιλεὺς ὁ υἱὸς τοῦ Ἑρκουλίου Μαξιμιανοῦ Μαγνέντιος· εἰς τὴν Ἀνατολὴν Μαξιμιανὸς ὁ Γαλλέριος, καὶ ὁ υἱὸς αὐτοῦ Μαξιμῖνος· ὁ δὲ Κωνσταντῖνος διὰ νὰ σωθῇ ἀπὸ τὰς ἐπιβουλὰς τῶν προρρηθέντων, ἔφυγεν ἀπὸ τὴν Ρώμην, κατευθυνθεὶς πρὸς τὸν ἐν τῇ ἀνατολῇ Μαξιμιανὸν Γαλλέριον· πλὴν καὶ ἐδῶ ἐφθονήθη ὑπὸ τοῦ ἐπιβούλου τούτου τυράννου. Εἰς τὴν Ἀνατολὴν εἶχον συνήθειαν νὰ κάμωσιν ἕνα πόλεμον ψευδῆ, πρὸς εὐφημίαν τοῦ αὐτοκράτορος, οὕτω πως· ἐντὸς τοῦ ἀμφιθεάτρου ἀπέλυον δύο θηρία, λέοντα καὶ ἄρκτον, ἀφ' οὗ πρότερον ἐξέβαλλον τοὺς ὀδόντας αὐτῶν καὶ ἀκολούθως εἰσήρχετο ὁ βασιλεὺς κρατῶν εἰς χεῖράς του ξύλον διὰ τοῦ ὁποίου ἐφόνευεν αὐτά· συγχρόνως δὲ εἰσήρχοντο ἐντὸς τοῦ ἀμφιθεάτρου τριάκοντα ἄνθρωποι, οἵτινες ἔχοντες ἀνὰ χεῖρας σπόγγους, ἐκτύπων τὸν βασιλέα, ἐνῷ αὐτὸς τοὺς ἐκτύπα μὲ λίθους καὶ ἔρριπτεν αὐτοὺς κάτω· τότε



λοιπὸν ἐφημίζετο ὁ βασιλεὺς οὗτος ὡς νικητής. Μίαν τῶν ἡμερῶν διέταξεν ὁ δόλιος Μαξιμιανός, νὰ ἀπολύσωσιν ἐντὸς τοῦ ἀμφιθεάτρου μίαν ἄρκτον καὶ ἕνα λέοντα, χωρὶς νὰ ἐκβάλωσιν αὐτῶν τοὺς ὀδόντας· μεθ' ὃ προσποιηθεὶς τὸν ἄρρωστον παρήγγειλεν εἰς τὸν Κωνσταντῖνον νὰ εἰσέλθῃ ἀντ' αὐτοῦ εἰς τὸ ἀμφιθέατρον· καὶ τῷ ὄντι εἰσῆλθεν ὁ Κωνσταντῖνος, καὶ ἐν τῷ ἅμα ὁρμῶσι κατ' αὐτοῦ τὰ δύο θηρία νὰ τὸν καταξεσχίσωσι μὲ τοὺς ὀδόντας των· ἀλλ' εὐτυχῶς ἀνδρεῖος ὢν φύσει ὁ Κωνσταντῖνος κατορθοῖ νὰ φονεύσῃ καὶ τὰ δύο θηρία καὶ οὕτω νὰ σωθῇ ἀπὸ προφανῆ κίνδυνον, ὅπερ καὶ μεγάλως κατέπληξε πάντας. Ἐννοήσας δὲ ἐπὶ τέλους ὁ Κωνσταντῖνος τοὺς ἐπιβούλους σκοποὺς καὶ τούτου τοῦ βασιλέως, σπεύδει, πρὸς τὸν πατέρα του, τὸν ὁποῖον εὗρεν εἰς τὰς τελευταίας ἡμέρας τῆς ζωῆς του. Εὐθὺς δὲ ἐνηγκαλίσθη τὸν υἱόν του καὶ προεφήτευσε περὶ αὐτοῦ λέγων. Καθὼς ὁ Χριστὸς σὲ προεφύλαξεν ἀπὸ τὰς ἐπιβουλὰς τῶν ἐχθρῶν, καὶ σὲ ἔπεμψεν ἐδῶ καθ' ἣν στιγμὴν θὰ λάβῃς παρὰ τοῦ θνήσκοντος πατρός σου τὴν βασιλείαν ὡς ἄξιος, οὕτω πιστεύω ὅτι θέλει σὲ βοηθήσει καὶ εἰς τὸν μέλλοντα χρόνον νὰ στερεώσῃς πανταχοῦ τὴν εὐσέβειαν, Ταῦτα εἶπε, καὶ τὸν ἐψήφισε βασιλέα λέγων. Ἐνθυμοῦ, τέκνον, νὰ ἀγαπᾷς τοὺς χριστιανοὺς καὶ νὰ βοηθῇς αὐτούς, ἐὰν θέλῃς νὰ δοξασθῇς εἰς τὸν κόσμον ἅπαντα τὸν δὲ Μαξιμιανὸν καὶ Μαγνέντιον, ἐὰν δυνηθῇς, ἀφάνισον, νὰ λυτρώσῃς τοὺς Ρωμαίους ἀπὸ τὰ βάσανα. Μετ' ὀλίγας δὲ ἡμέρας ἀπέθανεν ὁ εὐσεβὴς αὐτὸς βασιλεὺς Κώνστας. Ὁ δὲ Κωνσταντῖνος ἀνεδέχθη τὸν θρόνον του, κυβερνῶν τὸν λαὸν μὲ συμπάθειαν καὶ δικαιοσύνην.

Τὸν καιρὸν ἐκεῖνον συνήχθησαν ἄπειροι Πέρσαι, σκοποῦντες νὰ πολεμήσωσι τοὺς Ρωμαίους ὁ δὲ Μέγας Κωνσταντῖνος ὡς τὸ ἤκουσε, δὲν ἠμέλησεν, ἀλλὰ παρευθὺς σπεύδει εἰς τὰ ὅρια τῆς Περσίδος ὁδηγὸν ἀρκετὸν στράτευμα, διὰ νὰ μὴ τοὺς ἀφήσῃ καθ' ὁλοκληρίαν νὰ περάσωσιν εἰς τὴν γῆν τῶν Ρωμαίων. Ἐν τούτοις οἱ Πέρσαι πονηροὶ ὄντες, ἔστησαν ἐνέδρας, ὅθεν ἐννόουν ὅτι θὰ διαβῇ ὁ Μέγας Κωνσταντῖνος· διερχομένου δὲ αὐτοῦ ἐκεῖθεν, ἐξῆλθον αἰφνιδίως οἱ Πέρσαι καὶ ἐπιπεσόντες κατὰ τῶν Ρωμαίων, ἄλλους μὲν ἐφόνευσαν, ἄλλους δὲ ἠχμαλώτισαν, καὶ τοὺς ἐπιλοίπους ἔτρεψαν εἰς φυγήν, ἐν οἷς καὶ τὸν ἅγιον Εὐσίγνιον, μαρτυρήσαντα τὰ ὕστερον ἐπὶ τοῦ παραβάτου Ἰουλιανοῦ. Μεταξὺ τῶν αἰχμαλωτισθέντων ἦτο καὶ ὁ Μέγας Κωνσταντῖνος, τὸν ὁποῖον ἀπεφάσισαν οἱ βάρβαροι νὰ τὸν θυσιάσωσιν εἰς τὸν Θεόν των Ἥλιον. Ἀλλ' ἀληθὴς ἡ Προφητεία, «ἐὰν πέσῃ δίκαιος οὐ καταρραχθήσεται.» Διότι βλέπωμεν κατωτέρω πῶς ἐσώθη ἀπὸ τὸν θάνατον. Ὅταν ἦλθεν ἡ ἡμέρα καθ' ἣν ἔμελλον νὰ θυσιάσωσι τὸν βασιλέα οἱ βάρβαροι, ἔπεμψαν αἰχμαλώτους τινὰς Ρωμαίους νὰ κόψωσι ξύλα ἀπὸ τὸ δάσος διὰ διὰ τὴν πυρὰν καὶ οἰκονομίᾳ Θεοῦ ἔτυχεν εἰς τὸ δάσος ἐκεῖνο νὰ ἦναι κεκρυμμένοι πολλοὶ Ρωμαῖοι, οἱ ὁποῖοι ἰδόντες αὐτοὺς ἠρώτησαν περὶ τοῦ Βασιλέως των Κωνσταντίνου. Οὗτοι δὲ εἶπον πᾶσαν τὴν ἀλήθειαν· ἔπειτα εἶπον πρὸς τοὺς ἐν τῷ δάσει κεκρυμμένους τοὺς ἑξῆς λόγους. Ἐὰν μᾶς ἀκούσητε νὰ πράξητε ὅπως σᾶς εἴπωμεν, ἐλευθερώνομεν τὸν βασιλέα καὶ φεύγομεν καὶ ἡμεῖς μετ' αὐτοῦ· ἠξεύρετε ὅτι αὔριον θὰ φέρωσιν αὐτὸν εἰς τὸν ναόν των πρὸς θυσίαν, ἔχουν δὲ συνήθειαν νὰ μὴ ρατῶσι κανὲν ὅπλον. Τότε ἡμεῖς σᾶς κρύπτομεν ἀφ' ἑσπέρας ἐντὸς τοῦ Ναοῦ, καὶ ὅταν τὴν αὔριον δηλ. ἡμέραν, ἔλθωσι οἱ βάρβαροι φέροντες τὸν Βασιλέα, ἐπιπίπτομεν, ὅλοι κατ' αὐτῶν, ἀφοῦ πρότερον κλείσωμεν τὰς θύρας καὶ τοὺς σφάζομεν ὅλους· ὅπερ καὶ ἐγένετο. Ἐλευθερωθέντες οὕτως οἱ Ρωμαῖοι, ὅλοι ἐξέρχον-

ται τοῦ μέρους ἐκείνου, καὶ διερχόμενοι διὰ Περσικῶν χωρῶν ἐπέφερον ὄλεθρον, μεθ' ὃ ἔφθασαν εἰς τὸν τόπον των νικηταί, δοξάζοντες καὶ εὐλογοῦντες τὸν Θεόν.

Τὸν πέμπτον χρόνον τῆς βασιλείας εἶχε πόλεμον ὁ Μ. Κωνσταντῖνος κατὰ τῶν βαρβάρων πλησίον τοῦ Δουνάβεως ποταμοῦ· βλέπων δὲ τὸ πλῆθος αὐτῶν ἀναρίθμητον, ἐδειλία νὰ κροτήσῃ μάχην, ὅτε βλέπει τὴν μεσημβρίαν ἐν τῷ οὐρανῷ, ἕνα Σταυρὸν συντεθειμένον ἀπὸ ἄστρα μὲ γράμματα Ρωμαϊκά, «Κωνσταντῖνε ἐν τούτῳ νίκα». Τότε ὅλως ἔκπληκτος ἐρωτᾷ τοὺς στρατιώτας του, τίνος Θεοῦ σημεῖον ἦτο αὐτό; καὶ τοῦ εἶπον ὅτι ἦτο ὁ Σταυρὸς τοῦ Χριστοῦ. Τότε ἐπίστευσεν εἰς τὸν ἀληθῆ Θεὸν ὁ θεόσεπτος· ποιήσας δὲ ἕνα Σταυρὸν σιδηροῦν κατεσπευσμένως διατάττει ἕνα νὰ τὸν κρατῇ ἔμπροσθεν πάντων, καὶ κροτήσας κατὰ τῶν ἐχθρῶν τὴν μάχην, ἐνίκησεν αὐτοὺς καὶ ἐπέστρεψε τροπαιοῦχος εἰς βασίλεια. Ἀκούσαντες λοιπὸν οἱ Ρωμαῖοι τὰς ἀνδραγαθίας του, οἵτινος ἦσαν κατὰ πολλὰ βασανισμένοι ἀπὸ τὸν Μαξέντιον, ἔγραψαν πρὸς αὐτὸν παρακλητικῶς νὰ ὑπάγῃ μὲ τὸ στράτευμά του νὰ λυτρώσῃ αὐτοὺς ἀπὸ τὸν τύραννον. Ἀπελθὼν λοιπὸν εἰς τὴν Ρώμην ὁ ἀνδρεῖος Κωνσταντῖνος, συνῆψε μάχην μὲ τὸν Μαξέντιον, πλὴν δὲν ἐνίκησε κατὰ πρῶτον. Ἱστάμενος λοιπὸν ὁ καλὸς Κωνσταντῖνος περίλυπος, εἶδε πάλιν ἐν τῷ Οὐρανῷ τὸν ἄστρινον Σταυρὸν μὲ τὰ γράμματα· καὶ τὴν νύκτα δὲ τῷ ἐφάνη ὁ ἐσταυρωμένος Χριστὸς καθ' ὕπνον, λέγων αὐτῷ Ἔγειρε, καὶ ποίησον ἕνα Σταυρόν, ὡς εἶδες τὸν ὁποῖον βάσταζε εἰς τοὺς πολέμους μετὰ πίστεως, νὰ νικᾷς τοὺς πολεμίους πάντοτε. Ἐγερθεὶς λοιπὸν τὴν νύκτα, εἶδε πάλιν τὸ τροπαιοφόρον σημεῖον ἐν τῷ Οὐρανῷ, καὶ ὅταν ἐφώτισεν ἡ ἡμέρα, κατεσκεύασεν ἕνα Σταυρὸν ἀργυροῦν κατὰ τὸν φανέντα τύπον, καὶ τοῦτον ἐκράτουν ἔμπροσθεν ὅλου τοῦ στρατεύματος. Ὁ δὲ Μαξέντιος ἐλπίζων ὅτι θέλει νικήσει καὶ πάλιν, ὡς καὶ πρότερον, κατεσκεύασε μὲ πανουργίαν μίαν γέφυραν ἑτοιμόρροπον εἰς τὸν Τίβεριν ποταμόν, διὰ νὰ πνιγῇ εἰς αὐτὸν ὁ Κωνσταντῖνος, φεύγων μὲ τὸ στράτευμά του δι' ἐκείνης τῆς γεφύρας· ἀλλὰ συναφθείσης τῆς δευτέρας ταύτης μάχης ἐνίκησεν ὁ μέγας Κωνσταντῖνος διὰ τῆς εἰς τὸν Σταυρὸν πίστεως, τόσος δὲ φόβος κατέλαβε τὸν Μαξέντιον, καὶ εἰς τόσην δεινὴν θέσιν εὑρέθη, ὥστε διέταξε τὸ στράτευμά του, μὴ ἔχων πόθεν ἄλλοθι νὰ διαβῇ, νὰ περάσῃ ἀπὸ τὴν ἑτοιμόρροπον ἐκείνην γέφυραν, καὶ παρευθὺς αὕτη ὑπὸ τοῦ βάρους ἐξεκόπη· ἐπνίγησαν δὲ πάντες οἱ ἐπ' αὐτῆς. Ὁ μὲν λοιπὸν Κωνσταντῖνος ἐδόξασε τὸν Θεὸν βλέπων τοιοῦτον θαυμάσιον ἔργον Οἱ δὲ πολῖται τῆς Ρώμης ἐστόλισαν τὴν πόλιν ὅλην καὶ ὑπεδέχθησαν μετ' ἀγαλλιάσεως τὸν τροπαιοῦχον Κωνσταντῖνον καὶ καθίζοντες αὐτὸν εἰς τὸν βασιλικὸν θρόνον ἅπαντες τὸν προσεκύνησαν καὶ μεγάλας τιμὰς τὸν προσέφερον. Τότε δὲ ἔδωκεν ὁρισμὸν νὰ στήσωσι τὸν ζωοποιὸν Σταυρόν, εἰς τὰ κυριώτερα μέρη τῆς πόλεως, καὶ νὰ ζητήσωσιν ἀκριβῶς νὰ εὕρωσι τὰ ἅγια λείψανα τῶν θαυμασίων Μαρτύρων, οἵτινες ἔχυσαν διὰ τὸν δεσπότην Χριστὸν τὸ αἷμα αὐτῶν, διὰ νὰ ἐνταφιάσωσι μετὰ τῆς προσηκούσης εὐλαβείας· τοὺς δὲ ἐν φυλακαῖς καὶ ἐξορίαις νὰ λυτρώσωσι. Αὐτὰ καὶ ἄλλα πολλὰ ὁ ἀγαθὸς Κωνσταντῖνος ἐτέλεσεν εἰς τὰς τῆς βασιλείας ἀρχάς, ὡς ἀπαρχὰς καὶ δωρεὰς πρὸς τὸν πλουσιόδωρον εὐεργέτην Θεόν. Ἀλλ' ὢ δεινοῦ συναντήματος καὶ ἀνιάτου ἀρρωστήματος ὅπερ εὗρε τὴν ἀήττητον τοῦ Χριστοῦ ἀριστέα, τὸν ζηλωτὴν καὶ ὑπέρμαχον τῆς Ἐκκλησίας· εὗρε λέγω αὐτὸν δεινή, ἀνίατος καὶ ἀκάθαρτος λώβη εἰς τὸ καθαρὸν σῶμα τούτου τοῦ ἀοιδίμου καὶ τρισμάκαρος. Συνάξας δὲ ὅλους τοὺς ἰατροὺς τῆς πόλεως, δὲν ἠδυνήθησαν νὰ τῷ



παρέξωσι καμμίαν ὠφέλειαν· ὅθεν τινὲς Ἰουδαῖοι, ὡς φθονεροὶ ὄντες πρὸς τοὺς Χριστιανοὺς καὶ χαιρέκακοι, τὸν συνεβούλευσαν νὰ σφάξῃ πλῆθος παιδίων, νὰ λουσθῇ μὲ τὸ ἀχνίζον εἰσέτι αἷμα, καὶ οὕτω θὰ λαβῃ τὴν ἴασιν, καὶ τῷ ὄντι παρουσιάσθησαν μετ' ὀλίγον ἐνώπιον τοῦ βασιλέως πολλὰ παιδία συνοδευόμενα ἀπὸ τὰς θρηνούσας αὐτῶν μητέρας.

Βλέπων ταῦτα ὁ συμπαθὴς Κωνσταντῖνος, εἶπε· Διὰ τὴν ὑγείαν μου νὰ φονευθῶσι τόσα ἀνεύθηνα; νὰ λυπήσω τόσας μητέρας, χωρίζων παντοτεινῶς αὐτὰς ἀπὸ τὰ φίλτατά των τέκνα; μὴ γένοιτο· κάλλιον νὰ ἀποθάνω ἐγώ, παρὰ νὰ γίνῃ τόση αἱματοχυσία. Ταῦτα εἰπὼν ἀπέλυσε τὰ παιδία, χαρίζων πάσῃ μητρὶ ἀρκετὸν ποσὸν χρημάτων διὰ τὴν λύπην τὴν ὁποίαν ταῖς προὐξένησε. Δι' αὐτὸ δὲ καὶ ὁ υἱὸς καὶ Λόγος τοῦ Θεοῦ βλέπων τὴν γνώμην τὴν ἐλεήμονα τοῦ βασιλέως, ἀνταπέδωκεν αὐτῷ πλουσίως τὴν χάριν· δηλ. οὐχὶ μόνον τὴν σωματικὴν αὐτοῦ ἀσθένειαν ἰάτρευσεν, ἀλλὰ καὶ τὴν ψυχικήν· ὅτι αὐτὴν τὴν ἡμέραν ὅτε ἐφάνη οὕτω συμπαθὴς πρὸς τὰ τέκνα ὁ Κωνσταντῖνος, τῷ ἐφάνησαν τὴν ἀκόλουθον νύκτα οἱ κορυφαῖοι ἀπόστολοι Πέτρος καὶ Παῦλος καὶ λέγουσιν αὐτῷ ὁ Δεσπότης Χριστός, ὁ ἀληθὴς Θεός, μᾶς ἔπεμψε νὰ σοῦ φέρωμεν σωτηρίας εὐαγγέλια ὅτι διὰ τὴν φιλάνθρωπόν σου γνώμην σὲ ἠγάπησε καὶ ἠθέλησε νὰ σὲ ἀξιώσῃ τῆς τιμῆς νὰ κληρονομήσῃς σὺν τοῖς ἄλλοις καὶ σὺ τὴν βασιλείαν του· λοιπὸν ἐγερθεὶς πέμψον ἀνθρώπους νὰ σοῦ φέρωσι τὸν ἅγιον Σίλβεστρον ἀπὸ τὸ ὄρος νὰ σὲ βαπτίσῃ τὸ συντομώτερον καὶ τότε διὰ τῆς ἀναγεννήσεως τῆς ψυχῆς ἀναλαμβάνεις καὶ τὴν τοῦ σώματος ὑγείαν. Καὶ ὄντως τὸ πρωῒ ἐγερθεὶς ὁ βασιλεὺς Κωνσταντῖνος ἔπεμψεν ἀνθρώπους νὰ φέρωσιν ἐνώπιόν του μετὰ πάσης εὐλαβείας τὸν ἅγιον Σίλβεστρον· ἐλθόντα δὲ αὐτὸν ὑπεδέχθη ὁ βασιλεὺς καὶ διηγούμενος αὐτῷ τὴν ὀπτασίαν ἐζήτει τὸ ἅγιον βάπτισμα. Λέγει δὲ αὐτῷ ὁ Σίλβεστρος. Νήστευσον μίαν ἑβδομάδα μεθ' ὅλων τῶν αὐλικῶν σου, ἔκβαλε τὰ βασιλικὰ φορέματα καὶ ἐνεδύθητι σάκκον τρίχινον εἴσελθε ἀκολούθως εἰς τὸν κοιτῶνά σου καὶ προσεύχου μὲ δάκρυα πρὸς τὸν Δεσπότην Χριστὸν νὰ συγχωρήσῃ τὰς ἁμαρτίας σου· τὸ αὐτὸ δὲ θὰ πράξωμεν καὶ ἡμεῖς οἱ ἐκκλησιαστικοί, πρὸς δὲ διάνειμον τοῖς πτωχοῖς ἐλεημοσύνας καὶ τὰ τοιαῦτα.

Ὅπερ καὶ ἐγένετο· μεθ' ὃ ἑτοιμάσας ὁ ἅγιος Σίλβεστρος τὴν κολυμβήθραν εἶπε τῷ βασιλεῖ τὸ ὕδωρ τοῦτο, βασιλεῦ, ἁγιάζεται μὲ τὴν ἐπίκλησιν τῆς ζωοποιοῦ καὶ ὁμοουσίου Τριάδος, πατρὸς υἱοῦ καὶ ἁγίου Πνεύματος, καὶ καθίσταται ψυχῶν καθαρτήριον· τοῦτο δὲ θέλει σοῦ γίνει καὶ ἴασις τῆς ἀσθενείας σου, καθὼς οἱ Ἀπόστολοι σοῦ ἔταξαν. Εἴσελθε λοιπὸν εἰς τὸν θεῖον τοῦτον λουτῆρα μετὰ πίστεως νὰ καθαρισθῶσιν ὅλα σου τὰ πταίσματα κα' τῆς σαρκὸς τὰ ἀρρωστήματα. Τότε ὁ εὐλαβὴς βασιλεὺς ἐκδυθεὶς τὰ ἐνδύματά του καὶ χρισθεὶς τῷ ἁγίῳ μύρῳ, εἰσῆλθεν εἰς τὴν ἁγίαν κολυμβήθραν, τρὶς ἀναδύσας, ἐπικαλούμενος ὁ ἱερεὺς τὸ ὄνομα τῆς ἁγίας Τριάδος. Τότε ἦλθε φῶς οὐράνιον τοῦ ἡλίου λαμπρότερον, καὶ ἔλαμψεν ὅλον τὸ οἰκοδόμημα θαυμασιώτατα· ἐξερχόμενος δὲ ὁ ἅγιος Κωνσταντῖνος τοῦ ὕδατος ἐφάνη ὅλως ὑγιής· μετὰ τοῦτο δὲ ἐκοινώνησε τῶν ἀχράντων μυστηρίων, γενόμενος οὕτω τέλειος χριστιανός· Τότε δὲ ἔθεσε νόμους χριστιανικωτάτους ἀνυψῶν οὕτω τὴν ἐκκλησίαν τοῦ Χριστοῦ· τοὺς δὲ εἰδωλολάτρας ἕλληνας ἐδίωκε. Τοιαῦτα πράττων ὁ θεόκλητος αὐτοκράτωρ ἐφημίσθη εἰς ὅλην τὴν οἰκουμένην καθημερινῶς δὲ προσήρχοντο εἰς τὸν χριστιανισμὸν ἑτερόθρησκοι. Ἠξεύρων ὅμως ὅτι ἐν τούτοις εὑρίσκοντο τινὲς τῶν ἀρχόντων τῆς πόλεως ἐπιμένοντες εἰς τὸν ἑλληνισμόν, προσεκά-

λεσεν ὅλους αὐτοὺς καὶ τοὺς ἐνουθέτησεν οὕτως. Νὰ γνωρίζητε, φίλοι μου, ὅτι τῶν βεβήλων ψυχῶν ἡ διάνοια δὲν δύναται νὰ δεχθῇ συμβουλὴν σωτήριον, διότι εὑρίσκονται βεβυθισμένοι εἰς τὸ σκότος τῆς ἀγνωσίας οἱ τάλανες, καὶ ὅστις ἀνοίγει τῆς διανοίας τὰ ὄμματα, δύναται νὰ καταλάβῃ τὴν ἀλήθειαν νὰ μὴ προσκυνῇ ἀναίσθητα εἴδωλα, ἀλλὰ τὸν μόνον ἀληθινὸν Θεόν. Ἐγὼ δὲν δυναστεύω ἐν τούτοις τινὰ νὰ ἔλθῃ μετὰ βίας εἰς τὴν εὐσέβειαν, διότι τὰ ἔργα τοῦ χριστιανισμοῦ τὰβλέπετε κρίνοντες ἐκ τῶν ἰδίων μου, ἂν δηλ. αὐτὸς εἶνε ἀληθὴς ἢ μή, σᾶς συμβουλεύω ὅμως, ὡς φίλος, τὸ συμφερώτερον, τοῦτο δὲ εἶναι νὰ ἐξέλθητε τῆς πλάνης τοῦ ἐκλληνισμοῦ καὶ νὰ προσέλθητε πρὸς τὸν ζῶντα Χριστόν, τὸν ἀληθῆ Θεόν.

